GREEK SERIES · VOLUME 74

Laws

Plato

NOMOI

Laws

Part Two: Books VII.794–XII

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License
creativecommons.org/licenses/by-sa/4.0



Volume 74 of the Canes Nobiles Greek interlinear texts

The Greek text follows Burnet's Oxford Plato

Set from the Perseus Digital Library, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

Words Burnet secludes are not printed; words
he supplies are printed without their brackets.

CONTENTS

PLATO

BOOK VII

III · Both Hands and the Two Branches of Gymnastic 11
IV · No New Games 19
V · Songs as Laws 28
VI · Man the Gods' Plaything 37
VII · Women's Share and the Order of the Day 45
VIII · Letters, the Lyre, and the Book to Read 53
IX · The Lyre in Unison and the Kinds of Dance 62
X · War Dance, Peace Dance, Comedy, and Tragedy 70
XI · Number, Measure, and the Stars 78
XII · The Wandering Stars and the Laws of Hunting 88

BOOK VIII

I · Festivals and Monthly War Practice 99
II · Why Cities Do Not Train 107
III · Horse Contests, Music, and the Problem of Love 115
IV · Three Kinds of Love and the Unwritten Law 123

PLATO

(continued)

BOOK VIII

(continued)

V · The Victory over Pleasure, and the Laws of Farming 131
VI · Boundaries and Neighbors 139
VII · Harvest, Crafts, and Trade 147
VIII · The Market and the Resident Aliens 156

BOOK IX

I · The Temple-Robber 161
II · Treason, Theft, and the Lawgiver as Writer 168
III · The Just and the Fine 177
IV · Harm, Injustice, and the Causes of Wrong 186
V · Involuntary Homicide 195
VI · Killing in Anger and the Killing of Kin 202
VII · Willful Murder 210
VIII · Lifeless Killers, Justified Killing, and Why Law 218
IX · Wounding 226
X · Assault and Respect for Age 235

BOOK X

I · Three Kinds of Impiety 243
II · Nature, Chance, and Art 249
III · Soul Before Body 257
IV · The Ten Motions 267
V · The Soul That Moves Itself 276
VI · All Things Full of Gods; the Second Unbeliever 285
VII · Providence in Small Things 294

PLATO

(continued)

BOOK X

(continued)

VIII · The Unbribable Gods and the Law Against Impiety 303
IX · Prisons, Kinds of Impiety, and Private Shrines 312

BOOK XI

I · Treasure, Lost Property, and Freedmen 321
II · Sales, Defects, and Adulteration 328
III · Retail Trade and the Craftsmen 337
IV · Wills and Heirs 344
V · Heiresses and the Souls of the Dead 353
VI · Guardians, Disowning, and Divorce 361
VII · Parents as Living Images, and Poisoning 369
VIII · Theft, Madness, Abuse, and Beggars 377
IX · Witnesses and Advocates 385

BOOK XII

I · False Envoys, Public Theft, and the Soldier's Life 391
II · Shields Thrown Away, and the Auditors 398
III · The Auditors' Honors, and Oaths in Court 406
IV · Travel Abroad and the Observers 414
V · Visitors, Sureties, Searches, and Time Limits 422
VI · Offerings, Courts, and Judgments 430
VII · Burial, the Soul, and the Council at Dawn 437
VIII · The One Aim 446
IX · The Council's Education 456
X · The Council Founded 464

PLATO

NOMOI

Laws

BOOK VII

III · BOTH HANDS AND THE TWO BRANCHES OF GYMNASTIC

Children from three to six play together at the village shrines under the women overseers, and at six the sexes are parted. Boys learn riding, the bow, the javelin, and the sling, and girls too if it is agreed. The Athenian attacks the belief that the left hand is weaker by nature: nurses and mothers make children lame in one hand, while Scythians use both, and a fighter should be two-handed like Briareus. Teaching divides into gymnastics for the body and music for the soul, and gymnastics into dancing and wrestling; only the wrestling and armed dances that serve war are kept, with processions in arms. Gymnastic is now complete, and music comes next.

ΑΘΗ. τριετεῖ δὲ δὴ καὶ τετραετεῖ καὶ πενταετεῖ καὶ 794
for-three-year-old and indeed and for-four-year-old and for-five-year-old and
ἔτι ἑξετεῖ ἤθει ψυχῆς παιδιῶν δέον ἂν εἴη, τρυφῆς
still for-six-year-old character of-soul of-plays needful — would-be from-luxury
δ' ἤδη παραλυτέον κολάζοντα, μὴ ἀτίμως, ἀλλ' ὅπερ
and already they-must-be-weaned punishing not dishonorably but which-very
ἐπὶ τῶν δούλων γ' ἐλέγομεν, τὸ μὴ μεθ' ὕβρεως
in-the-case-of the slaves at-least we-were-saying the not with insolence
κολάζοντας ὀργὴν ἐμποιῆσαι δεῖν τοῖς κολασθεῖσιν μηδ'
punishing anger to-instill to-be-necessary in-the punished nor
ἀκολάστους ἐῶντας τρυφήν, ταὐτὸν δραστέον τοῦτό γε
unpunished letting luxury the-same must-be-done this at-least
καὶ ἐπ' ἐλευθέροισι. παιδιαὶ δ' εἰσὶν τοῖς τηλικούτοις
also in-the-case-of free-children plays and are for-the of-such-age
αὐτοφυεῖς τινες, ἃς ἐπειδὰν συνέλθωσιν αὐτοὶ σχεδὸν
self-grown some which whenever they-come-together themselves nearly
ἀνευρίσκουσι. συνιέναι δὲ εἰς τὰ κατὰ κώμας ἱερὰ
discover to-come-together and to the by villages sanctuaries

δεῖ πάντα ἤδη τὰ τηλικαῦτα παιδία, ἀπὸ τριετοῦς μέχρι
one-must all already the of-such-age children from three-year-old up-to
τῶν ἓξ ἐτῶν, κοινῇ τὰ τῶν κωμητῶν εἰς ταὐτὸν
the six years in-common the-(children) of-the villagers into the-same
ἕκαστα· τὰς δὲ τροφοὺς ἔτι τῶν τηλικούτων κοσμιότητός
each the and nurses still of-the of-such-age of-orderliness
τε καὶ ἀκολασίας ἐπιμελεῖσθαι, τῶν δὲ τροφῶν αὐτῶν
both and of-unruliness to-take-care-of of-the and nurses themselves
καὶ τῆς ἀγέλης συμπάσης, τῶν δώδεκα γυναικῶν μίαν
and of-the herd whole of-the twelve women one
ἐφ᾽ ἑκάστῃ τετάχθαι κοσμοῦσαν κατ᾽ ἐνιαυτὸν τῶν
over each to-have-been-appointed ordering by year of-the
προειρημένων ἃς ἂν τάξωσιν οἱ νομοφύλακες. ταύτας δὲ
previously-mentioned whom — may-appoint the law-guardians these and
αἱρείσθωσαν μὲν αἱ τῶν γάμων κύριαι τῆς ἐπιμελείας,
let-them-choose indeed the of-the marriages in-charge of-the supervision
ἐξ ἑκάστης τῆς φυλῆς μίαν, ἥλικας αὑταῖς· ἡ
from each the tribe one of-the-same-age as-themselves the
δὲ καταστᾶσα ἀρχέτω φοιτῶσα εἰς τὸ ἱερὸν ἑκάστης
and appointed let-her-rule going to the sanctuary each
ἡμέρας καὶ κολάζουσα ἀεὶ τὸν ἀδικοῦντα, δοῦλον μὲν
day and punishing always the wrongdoing slave indeed
καὶ δούλην καὶ ξένον καὶ ξένην αὐτὴ διά τινων
and female-slave and foreigner and foreign-woman herself through some
τῆς πόλεως οἰκετῶν, πολίτην δὲ ἀμφισβητοῦντα μὲν
of-the city household-slaves citizen and disputing indeed
τῇ κολάσει πρὸς τοὺς ἀστυνόμους ἐπὶ δίκην ἄγουσα,
the punishment to the town-wardens to trial bringing
ἀναμφισβήτητον δὲ ὄντα καὶ τὸν πολίτην αὐτὴ κολαζέτω.
not-disputing and being also the citizen herself let-her-punish

μετὰ δὲ τὸν ἑξέτη καὶ τὴν ἑξέτιν διακρινέσθω μὲν d
after and the six-year-old-boy and the six-year-old-girl let-be-divided indeed
ἤδη τὸ γένος ἑκατέρων — κόροι μὲν μετὰ κόρων, παρθένοι
already the sex of-each boys indeed with boys maidens
δὲ ὡσαύτως μετ᾽ ἀλλήλων τὴν διατριβὴν ποιείσθωσαν —
and likewise with one-another the pastime let-them-make
πρὸς δὲ τὰ μαθήματα τρέπεσθαι χρεὼν ἑκατέρους,
for and the lessons to-turn it-is-needful each
τοὺς μὲν ἄρρενας ἐφ᾽ ἵππων διδασκάλους καὶ τόξων καὶ
the indeed males to of-horses teachers and of-bows and
ἀκοντίων καὶ σφενδονήσεως, ἐὰν δέ πῃ συγχωρῶσιν,
of-javelins and of-slinging if and somehow they-agree
μέχρι γε μαθήσεως καὶ τὰ θήλεα, καὶ δὴ τά γε
up-to at-least learning also the females and indeed the-things at-least
μάλιστα πρὸς τὴν τῶν ὅπλων χρείαν. τὸ γὰρ δὴ νῦν
most for the of-the arms use the for indeed now
καθεστὸς περὶ τὰ τοιαῦτα ἀγνοεῖται παρὰ τοῖς πᾶσιν ὀλίγου.
established about the such-things is-unknown among the all nearly
CLIN. τὸ ποῖον;
the what-sort
ATH. ὡς ἄρα τὰ δεξιὰ καὶ τὰ ἀριστερὰ διαφέροντά ἐσθ᾽ e
that then the right-things and the left-things differing are
ἡμῶν φύσει πρὸς τὰς χρείας εἰς ἑκάστας τῶν πράξεων
of-us by-nature for the uses to each of-the actions
τὰ περὶ τὰς χεῖρας, ἐπεὶ τά γε περὶ πόδας τε καὶ
the-things about the hands since the-things at-least about feet both and
τὰ κάτω τῶν μελῶν οὐδὲν διαφέροντα εἰς τοὺς πόνους
the-things lower of-the limbs nothing differing for the labors
φαίνεται· τὰ δὲ κατὰ χεῖρας ἀνοίᾳ τροφῶν καὶ
appear the-things and by hands through-folly of-nurses and
μητέρων οἷον χωλοὶ γεγόναμεν ἕκαστοι. τῆς φύσεως γὰρ
of-mothers as-it-were lame we-have-become each of-the nature for

ἑκατέρων τῶν μελῶν σχεδὸν ἰσορροπούσης, αὐτοὶ διὰ
of-each the limbs nearly balancing ourselves because-of
τὰ ἔθη διάφορα αὐτὰ πεποιήκαμεν οὐκ ὀρθῶς χρώμενοι.
the habits different them we-have-made not rightly using
795 ἐν ὅσοις μὲν γὰρ τῶν ἔργων μὴ μέγα διαφέρει, λύρᾳ μὲν
in as-many indeed for of-the works not greatly it-differs with-lyre indeed
ἐν ἀριστερᾷ χρώμενον, πλήκτρῳ δὲ ἐν δεξιᾷ, πρᾶγμα οὐδέν,
in left using with-plectrum and in right matter nothing
καὶ ὅσα τοιαῦτα· τούτοις δὲ παραδείγμασι χρώμενον
and as-many-as such these and examples using
καὶ εἰς ἄλλα μὴ δέον οὕτω χρῆσθαι σχεδὸν ἄνοια. ἔδειξεν
also for other-things not needful so to-use nearly folly showed
δὲ ταῦτα ὁ τῶν Σκυθῶν νόμος, οὐκ ἐν ἀριστερᾷ μὲν
and these-things the of-the Scythians custom not in left indeed
τόξον ἀπάγων, ἐν δεξιᾷ δὲ οἰστὸν προσαγόμενος μόνον,
bow drawing-back in right and arrow drawing-on only
ἀλλ' ὁμοίως ἑκατέροις ἐπ' ἀμφότερα χρώμενος· πάμπολλα
but alike with-both for both-purposes using very-many
δ' ἕτερα τοιαῦτα παραδείγματα ἐν ἡνιοχείαις τέ ἐστι
and other such examples in charioteerings both are
καὶ ἐν ἑτέροις, ἐν οἷσιν μαθεῖν δυνατὸν ὅτι παρὰ φύσιν
and in others in which to-learn possible that against nature
κατασκευάζουσιν οἱ ἀριστερὰ δεξιῶν ἀσθενέστερα
they-contrive those-who left-things than-right-things weaker
κατασκευάζοντες. ταῦτα δ', ὅπερ εἴπομεν, ἐν μὲν
contriving these-things and which-very we-said in indeed
κερατίνοις πλήκτροις καὶ ἐν ὀργάνοις τοιούτοις οὐδὲν μέγα·
horn plectra and in instruments such nothing great
σιδηροῖς δ' εἰς τὸν πόλεμον ὅταν δέῃ χρῆσθαι, μέγα
with-iron and for the war whenever it-is-necessary to-use greatly
διαφέρει, καὶ τόξοις καὶ ἀκοντίοις καὶ ἑκάστοις τούτων,
it-differs and with-bows and with-javelins and with-each of-these

πολὺ δὲ μέγιστον, ὅταν ὅπλοις δέῃ πρὸς ὅπλα
by-much and greatest whenever with-arms it-is-necessary against arms
χρῆσθαι. διαφέρει δὲ πάμπολυ μαθὼν μὴ μαθόντος
to-use it-differs and very-much having-learned not than-one-having-learned
καὶ ὁ γυμνασάμενος τοῦ μὴ γεγυμνασμένου.
and the having-trained than-the not having-trained
καθάπερ γὰρ ὁ τελέως παγκράτιον ἠσκηκὼς ἢ πυγμὴν c
as for the perfectly pancratium having-practiced or boxing
ἢ πάλην οὐκ ἀπὸ μὲν τῶν ἀριστερῶν ἀδύνατός ἐστι
or wrestling not from indeed the left-side unable is
μάχεσθαι, χωλαίνει δὲ καὶ ἐφέλκεται πλημμελῶν, ὁπόταν
to-fight limps and also drags-himself erring whenever
αὐτόν τις μεταβιβάζων ἐπὶ θάτερα ἀναγκάζῃ διαπονεῖν,
him anyone shifting to the-other-side compels to-work-through
ταὐτὸν δὴ τοῦτ', οἶμαι, καὶ ἐν ὅπλοις καὶ ἐν τοῖς ἄλλοις
the-same indeed this I-think also in arms and in the other
πᾶσι χρὴ προσδοκᾶν ὀρθόν, ὅτι τὸν διττὰ δεῖ
all-things one-must to-expect right that the two-sets one-must
κεκτημένον, οἷς ἀμύνοιτό τ' ἂν καὶ ἐπιτιθεῖτο
having-acquired with-which he-might-defend-himself both — and might-attack
ἄλλοις, μηδὲν ἀργὸν τούτων μηδὲ ἀνεπιστῆμον ἐᾶν εἶναι
others nothing idle of-these nor unskilled to-allow to-be
κατὰ δύναμιν· Γηρυόνου δέ γε εἴ τις φύσιν ἔχων
according-to power of-Geryon and at-least if anyone nature having
ἢ καὶ τὴν Βριάρεω φύοιτο, ταῖς ἑκατὸν χερσὶν ἑκατὸν
or also the of-Briareus should-be-born with-the hundred hands hundred
δεῖ βέλη ῥίπτειν δυνατὸν εἶναι. τούτων δὴ πάντων τὴν
one-must missiles to-throw able to-be of-these indeed of-all the
ἐπιμέλειαν ἀρχούσαις τε καὶ ἄρχουσι δεῖ γίγνεσθαι,
care for-female-officials both and for-male-officials must to-come-about
ταῖς μὲν ἐν παιδιαῖς τε καὶ τροφαῖς ἐπισκόποις
for-the-ones indeed in plays both and nurtures overseers

γιγνομέναις, τοῖς δὲ περὶ μαθήματα, ὅπως ἀρτίποδές
becoming for-the-others and about lessons so-that sound-footed
τε καὶ ἀρτίχειρες πάντες τε καὶ πᾶσαι γιγνόμενοι, μηδὲν
both and sound-handed all both and all becoming in-nothing
τοῖς ἔθεσιν ἀποβλάπτωσι τὰς φύσεις εἰς τὸ δυνατόν.
by-the habits they-may-damage the natures to the possible
e τὰ δὲ μαθήματά που διττά, ὥς γ' εἰπεῖν, χρήσασθαι
the and lessons surely twofold as at-least to-say to-use
συμβαίνοι ἄν, τὰ μὲν ὅσα περὶ τὸ σῶμα
would-turn-out — the(-ones) indeed as-many-as about the body
γυμναστικῆς, τὰ δ' εὐψυχίας χάριν μουσικῆς. τὰ
of-gymnastics the(-others) and of-good-spirit for-the-sake of-music the(-ones)
δὲ γυμναστικῆς αὖ δύο, τὸ μὲν ὄρχησις, τὸ
and of-gymnastics again two the(-one) indeed dancing the(-other)
δὲ πάλη. τῆς ὀρχήσεως δὲ ἄλλη μὲν Μούσης λέξιν
and wrestling of-the dancing and one indeed of-Muse speech
μιμουμένων, τό τε μεγαλοπρεπὲς φυλάττοντας ἅμα καὶ
of-those-imitating the both magnificent guarding at-once and
ἐλεύθερον, ἄλλη δέ, εὐεξίας ἐλαφρότητός τε ἕνεκα
free the-other and of-good-condition of-lightness both for-the-sake
καὶ κάλλους, τῶν τοῦ σώματος αὐτοῦ μελῶν καὶ μερῶν
and of-beauty of-the of-the body itself of-limbs and of-parts
τὸ προσῆκον καμπῆς τε καὶ ἐκτάσεως, καὶ ἀποδιδομένης
the fitting of-bending both and of-stretching and being-rendered
ἑκάστοις αὐτοῖς αὑτῶν εὐρύθμου κινήσεως, διασπειρομένης
to-each themselves of-their-own rhythmical motion spread-through
ἅμα καὶ συνακολουθούσης εἰς πᾶσαν τὴν ὄρχησιν ἱκανῶς.
at-once and accompanying into all the dancing sufficiently
796 καὶ δὴ τά γε κατὰ πάλην ἃ μὲν Ἀνταῖος ἢ
and indeed the-things at-least by wrestling which indeed Antaeus or
Κερκύων ἐν τέχναις ἑαυτῶν συνεστήσαντο φιλονικίας
Cercyon in arts of-themselves composed of-contentiousness

ἀχρήστου χάριν, ἢ πυγμῆς Ἐπειὸς ἢ Ἄμυκος, οὐδὲν
useless for-the-sake or of-boxing Epeius or Amycus nothing
χρήσιμα ἐπὶ πολέμου κοινωνίαν ὄντα, οὐκ ἄξια λόγῳ κοσμεῖν·
useful for of-war partnership being not worthy in-word to-adorn
τὰ δὲ ἀπ᾽ ὀρθῆς πάλης, ἀπ᾽ αὐχένων καὶ χειρῶν καὶ
the-things and from upright wrestling from necks and hands and
πλευρῶν ἐξειλήσεως, μετὰ φιλονικίας τε καὶ καταστάσεως
sides of-twisting-free with contentiousness both and of-standing-firm
διαπονούμενα μετ᾽ εὐσχήμονος ῥώμης τε καὶ ὑγιείας ἕνεκα,
worked-through with graceful strength both and of-health for-the-sake
ταῦτ᾽ εἰς πάντα ὄντα χρήσιμα οὐ παρετέον, ἀλλὰ
these-things for all being useful not must-be-passed-over but
προστακτέον μαθηταῖς τε ἅμα καὶ τοῖς διδάξουσιν, ὅταν
must-be-enjoined on-learners both at-once and on-the going-to-teach whenever
ἐνταῦθ᾽ ὦμεν τῶν νόμων, τοῖς μὲν πάντα τὰ τοιαῦτα
here we-be of-the laws to-the-ones indeed all the such-things
εὐμενῶς δωρεῖσθαι, τοῖς δὲ παραλαμβάνειν ἐν χάρισιν.
kindly to-give to-the-others and to-receive in gratitude
οὐδ᾽ ὅσα ἐν τοῖς χοροῖς ἐστιν αὖ μιμήματα προσήκοντα
nor as-many-as in the choruses is again imitations fitting
μιμεῖσθαι παρετέον, κατὰ μὲν τὸν τόπον τόνδε Κουρήτων
to-imitate must-be-passed-over in indeed the place this of-Curetes
ἐνόπλια παίγνια, κατὰ δὲ Λακεδαίμονα Διοσκόρων. ἡ δὲ
armed games in and Lacedaemon of-Dioscuri the and
αὖ που παρ᾽ ἡμῖν κόρη καὶ δέσποινα, εὐφρανθεῖσα τῇ
again surely among us maiden and mistress having-been-delighted with-the
τῆς χορείας παιδιᾷ, κεναῖς χερσὶν οὐκ ᾠήθη δεῖν
of-the dance play with-empty hands not thought it-was-necessary
ἀθύρειν, πανοπλίᾳ δὲ παντελεῖ κοσμηθεῖσα, οὕτω τὴν
to-play in-panoply and complete adorned so the
ὄρχησιν διαπεραίνειν· ἃ δὴ πάντως μιμεῖσθαι
dance to-complete which-things indeed altogether to-imitate

πρέπον ἂν εἴη κόρους τε ἅμα καὶ κόρας, τὴν τῆς θεοῦ
fitting — would-be boys both together and girls the of-the goddess
χάριν τιμῶντας, πολέμου τ᾽ ἐν χρείᾳ καὶ ἑορτῶν ἕνεκα.
grace honoring of-war both in use and of-festivals for-the-sake
d τοῖς δέ που παισὶν εὐθύς τε καὶ ὅσον ἂν χρόνον μήπω
for-the and surely children at-once both and as-much — time not-yet
εἰς πόλεμον ἴωσιν, πᾶσι θεοῖς προσόδους τε καὶ πομπὰς
to war they-go for-all gods processions both and pomps
ποιουμένους μεθ᾽ ὅπλων τε καὶ ἵππων ἀεὶ κοσμεῖσθαι δέον
making with arms both and horses always to-be-adorned needful
ἂν εἴη, θάττους τε καὶ βραδυτέρας ἐν ὀρχήσεσι καὶ ἐν
— would-be quicker both and slower in dances and in
πορείᾳ τὰς ἱκετείας ποιουμένους πρὸς θεούς τε καὶ θεῶν
procession the supplications making to gods both and of-gods
παῖδας. καὶ ἀγῶνας δὴ καὶ προαγῶνας, εἴ τινων, οὐκ
children and contests indeed and preliminary-contests if for-any not
ἄλλων ἢ τούτων ἕνεκα προαγωνιστέον· οὗτοι γὰρ
of-others than of-these for-the-sake one-must-hold-preliminary-contests these for
καὶ ἐν εἰρήνῃ καὶ κατὰ πόλεμον χρήσιμοι εἴς τε πολιτείαν καὶ
both in peace and in war useful for both constitution and
ἰδίους οἴκους, οἱ δὲ ἄλλοι πόνοι τε καὶ παιδιαὶ καὶ σπουδαὶ
private households the and other labors both and plays and pursuits
κατὰ σώματα οὐκ ἐλευθέρων, ὦ Μέγιλλέ τε καὶ Κλεινία.
by bodies not of-free-men O Megillus both and Clinias
e ἣν εἶπον γυμναστικὴν ἐν τοῖς πρώτοις λόγοις ὅτι
which I-said gymnastics in the first arguments that
δέοι διεξελθεῖν, σχεδὸν δὴ διελήλυθα τὰ νῦν,
it-was-needful to-go-through nearly indeed I-have-gone-through the now
καὶ ἔσθ᾽ αὕτη παντελής· εἰ δέ τινα ταύτης ὑμεῖς ἔχετε
and is this complete if and any than-this you have
βελτίω, θέντες εἰς κοινὸν λέγετε.
better having-set into common speak

CLIN. οὐ ῥᾴδιον, ὦ ξένε, παρέντας ταῦτα ἄλλα ἔχειν
not easy O stranger having-passed-over these-things others to-have
βελτίω τούτων περὶ γυμναστικῆς ἅμα καὶ ἀγωνίας εἰπεῖν.
better than-these about gymnastics together and contest to-say
ATH. τὸ τοίνυν τούτοις ἑξῆς περὶ τὰ τῶν Μουσῶν τε
the then to-these next about the-things of-the Muses both
καὶ Ἀπόλλωνος δῶρα, τότε μέν, ὡς ἅπαντα εἰρηκότες,
and of-Apollo gifts then indeed as all-things having-said
ᾠόμεθα καταλείπειν μόνα τὰ περὶ γυμναστικῆς· νῦν δ'
we-thought to-leave only the-things about gymnastics now and
ἔστιν δῆλα ἅ τ' ἐστὶν καὶ ὅτι πρῶτα πᾶσιν ῥητέα.
is clear which both are and that first to-all must-be-spoken
λέγωμεν τοίνυν ἑξῆς αὐτά.
let-us-speak then next them
CLIN. πάνυ μὲν οὖν λεκτέον.
certainly indeed then it-must-be-spoken

IV · NO NEW GAMES

Changing children's games breeds young men who want new customs and new laws, and change is perilous in everything except what is bad. Rhythms and tunes imitate characters, so their innovation must be checked too. The Athenian takes the Egyptian method: fix a calendar of festivals and consecrate their songs and dances to the gods, and let priests and law-guardians bar anyone who brings in other hymns. Clinias agrees. Then, like a traveler stopped at a crossroads, the Athenian asks for time to examine so strange a proposal before affirming it, and they go on with the laws meanwhile.

ATH. ἀκούσατε δέ μου, προακηκοότες μὲν καὶ ἐν τοῖς 797
hear and me having-heard-before indeed also in the
πρόσθεν· ὅμως δὲ τό γε σφόδρα ἄτοπον καὶ ἄηθες
before nevertheless and the at-least very strange and unaccustomed

διευλαβεῖσθαι δεῖ λέγοντα καὶ ἀκούοντα, καὶ δὴ
to-beware-of one-must the-one-speaking and the-one-hearing and indeed
καὶ νῦν. ἐρῶ μὲν γὰρ ἐγὼ λόγον οὐκ ἄφοβον εἰπεῖν,
also now I-shall-speak indeed for I argument not fearless to-tell
ὅμως δέ πῃ θαρρήσας οὐκ ἀποστήσομαι.
nevertheless and somehow having-taken-courage not I-shall-stand-aside

CLIN. τίνα δὴ τοῦτον, ὦ ξένε, λέγεις;
what indeed this O stranger do-you-mean

b ATH. φημὶ κατὰ πάσας πόλεις τὸ τῶν παιδιῶν γένος
I-say in all cities the of-the plays kind
ἠγνοῆσθαι σύμπασιν ὅτι κυριώτατόν ἐστι περὶ
to-have-gone-unrecognized by-all that most-decisive it-is about
θέσεως νόμων, ἢ μονίμους εἶναι τοὺς τεθέντας ἢ μή.
laying-down of-laws whether lasting to-be the laid-down or not
ταχθὲν μὲν γὰρ αὐτὸ καὶ μετασχὸν τοῦ τὰ αὐτὰ
having-been-ordered indeed for it and having-shared of-the the same-things
κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἀεὶ τοὺς αὐτοὺς παίζειν τε
in the same-ways and likewise always the same to-play both
καὶ εὐθυμεῖσθαι τοῖς αὐτοῖς παιγνίοις, ἐᾷ καὶ τὰ σπουδῇ
and to-be-cheerful with-the same playthings it-allows also the in-earnest
κείμενα νόμιμα μένειν ἡσυχῇ, κινούμενα δὲ τὰ αὐτὰ καὶ
lying customs to-remain at-rest being-moved and the same-things and
καινοτομούμενα, μεταβολαῖς τε ἄλλαις ἀεὶ χρώμενα, καὶ
being-innovated with-changes both other always using and
μηδέποτε ταὐτὰ φίλα προσαγορευόντων τῶν νέων, μήτ'
never the-same-things dear calling the young neither
ἐν σχήμασιν τοῖς τῶν αὑτῶν σωμάτων μήτε ἐν τοῖς ἄλλοις
in figures the of-the of-themselves bodies nor in the other
σκεύεσιν ὁμολογουμένως αὐτοῖς ἀεὶ κεῖσθαι τό τ' εὔσχημον
equipment agreeably to-them always to-lie the both graceful
καὶ ἄσχημον, ἀλλὰ τόν τι νέον ἀεὶ καινοτομοῦντα
and graceless but the something new always innovating

καὶ εἰσφέροντα τῶν εἰωθότων ἕτερον κατά τε σχήματα
and introducing than-the accustomed-things different in both figures
καὶ χρώματα καὶ πάντα ὅσα τοιαῦτα, τοῦτον τιμᾶσθαι
and colors and all-things as-many-as such this-one to-be-honored
διαφερόντως, τούτου πόλει λώβην οὐκ εἶναι μείζω φαῖμεν
exceptionally than-this for-city ruin not to-be greater we-would-say
ἂν ὀρθότατα λέγοντες· λανθάνειν γὰρ τῶν νέων τὰ ἤθη
— most-rightly saying to-escape-notice for of-the young the characters
μεθιστάντα καὶ ποιεῖν τὸ μὲν ἀρχαῖον παρ᾽ αὐτοῖς ἄτιμον,
changing and to-make the indeed old among them dishonored
τὸ δὲ νέον ἔντιμον. τούτου δὲ πάλιν αὖ λέγω τοῦ τε
the and new honored than-this and back again I-say the both
ῥήματος καὶ τοῦ δόγματος οὐκ εἶναι ζημίαν μείζω πάσαις
saying and the doctrine not to-be loss greater for-all
πόλεσιν· ἀκούσατε δὲ ὅσον φημὶ αὖτ᾽ εἶναι κακόν.
cities hear and how-great I-say it to-be evil
CLIN. ἦ τὸ ψέγεσθαι τὴν ἀρχαιότητα λέγεις ἐν ταῖς d
truly the to-be-blamed the antiquity do-you-mean in the
πόλεσιν;
cities
ATH. πάνυ μὲν οὖν.
certainly indeed then
CLIN. οὐ φαύλους τοίνυν ἡμᾶς ἂν ἀκροατὰς πρὸς αὐτὸν
not poor then us — hearers for very
τὸν λόγον ἔχοις ἂν τοῦτον, ἀλλ᾽ ὡς δυνατὸν
the argument you-would-have — this but as possible
εὐμενεστάτους.
best-disposed
ATH. εἰκὸς γοῦν.
likely at-any-rate
CLIN. λέγε μόνον.
speak only

798 ΑΤΗ. ἴτε δή, μειζόνως αὐτὸν ἀκούσωμέν τε ἡμῶν αὐτῶν καὶ
come indeed more-greatly it let-us-hear both of-us ourselves and
πρὸς ἀλλήλους οὕτως εἴπωμεν. μεταβολὴν γὰρ δὴ πάντων
to one-another so let-us-speak change for indeed of-all-things
πλὴν κακῶν πολὺ σφαλερώτατον εὑρήσομεν ἐν ὥραις
except evils by-far most-dangerous we-shall-find in seasons
πάσαις, ἐν πνεύμασιν, ἐν διαίταις σωμάτων, ἐν τρόποις
all in winds in regimens of-bodies in ways
ψυχῶν, ἐν ὡς ἔπος εἰπεῖν οὐ τοῖς μέν, τοῖς δ' οὔ,
of-souls in so a-word to-say not in-the-ones indeed in-the-others and not
πλήν, ὅτιπερ εἶπον νυνδή, κακοῖς· ὥστε, εἴ τις ἀποβλέψειε
except whatever I-said just-now evils so-that if anyone should-look
πρὸς σώματα, ὡς πᾶσι μὲν σιτίοις, πᾶσι δ' αὖ ποτοῖς
to bodies how to-all indeed foods to-all and again drinks
καὶ πόνοις συνήθη γιγνόμενα, καὶ τὸ πρῶτον ταραχθέντα
and toils accustomed becoming and the first disturbed
ὑπ' αὐτῶν, ἔπειτ' ἐξ αὐτῶν τούτων ὑπὸ χρόνου σάρκας
by them then out-of them these by time flesh
φύσαντα οἰκείας τούτοις, φίλα τε καὶ συνήθη καὶ γνώριμα
having-grown akin to-these dear both and accustomed and familiar
γενόμενα ἁπάσῃ ταύτῃ τῇ διαίτῃ πρὸς ἡδονὴν καὶ ὑγίειαν
having-become to-all this the regimen for pleasure and health
ἄριστα διάγει, καὶ ἄν ποτ' ἄρα ἀναγκασθῇ μεταβάλλειν
best it-passes-life and if ever then it-be-compelled to-change
αὖθις ἡντινοῦν τῶν εὐδοκίμων διαιτῶν, τό γε κατ'
again to-any-whatever of-the well-reputed regimens the at-least at
ἀρχὰς συνταραχθεὶς ὑπὸ νόσων μόγις ποτὲ κατέστη,
beginnings having-been-disturbed by diseases with-difficulty ever it-was-restored
τὴν συνήθειαν τῇ τροφῇ πάλιν ἀπολαβών, ταὐτὸν
the familiarity to-the nurture again having-taken-back the-same

δὴ δεῖ νομίζειν τοῦτο γίγνεσθαι καὶ περὶ τὰς τῶν
indeed one-must to-think this to-come-about also about the of-the
ἀνθρώπων διανοίας τε ἅμα καὶ τὰς τῶν ψυχῶν φύσεις.
men thoughts both at-once and the of-the souls natures
οἷς γὰρ ἂν ἐντραφῶσιν νόμοις καὶ κατά τινα θείαν b
in-which for — they-are-reared laws and by some divine
εὐτυχίαν ἀκίνητοι γένωνται μακρῶν καὶ πολλῶν χρόνων,
good-fortune unmoved become of-long and many times
ὡς μηδένα ἔχειν μνείαν μηδὲ ἀκοὴν τοῦ ποτε ἄλλως αὐτὰ
so-that no-one to-have memory nor hearing of-the ever otherwise them
σχεῖν ἢ καθάπερ νῦν ἔχει, σέβεται καὶ φοβεῖται πᾶσα
to-have-been than as now they-are reveres and fears all
ἡ ψυχὴ τό τι κινεῖν τῶν τότε καθεστώτων. μηχανὴν
the soul the anything to-move of-the then established device
δὴ δεῖ τὸν νομοθέτην ἐννοεῖν ἀμόθεν γέ ποθεν
indeed one-must the lawgiver to-think-of from-somewhere at-least from-anywhere
ὄντινα τρόπον τοῦτ' ἔσται τῇ πόλει. τῇδ' οὖν ἔγωγε
in-what way this will-be for-the city in-this-way then I-for-my-part
εὑρίσκω. τὰς παιδιὰς πάντες διανοοῦνται κινουμένας τῶν
find the plays all think being-moved of-the
νέων, ὅπερ ἔμπροσθεν ἐλέγομεν, παιδιὰς ὄντως εἶναι καὶ
young which-very before we-were-saying plays really to-be and
οὐ τὴν μεγίστην ἐξ αὐτῶν σπουδὴν καὶ βλάβην συμβαίνειν,
not the greatest from them earnestness and harm to-result
ὥστε οὐκ ἀποτρέπουσιν ἀλλὰ συνέπονται ὑπείκοντες, καὶ οὐ
so-that not they-turn-away but they-follow-along yielding and not
λογίζονται τόδε, ὅτι τούτους ἀνάγκη τοὺς παῖδας τοὺς ἐν
they-reckon this that these necessity the children the in
ταῖς παιδιαῖς νεωτερίζοντας ἑτέρους ἄνδρας τῶν ἔμπροσθεν
the plays innovating other men than-the before
γενέσθαι παίδων, γενομένους δὲ ἄλλους, ἄλλον βίον ζητεῖν,
to-become children having-become and others other life to-seek

ζητήσαντας δέ, ἑτέρων ἐπιτηδευμάτων καὶ νόμων ἐπιθυμῆσαι,
having-sought and of-other practices and laws to-desire
καὶ μετὰ τοῦτο ὡς ἥξοντος τοῦ νυνδὴ λεγομένου μεγίστου
and after this as going-to-come the just-now said greatest
κακοῦ πόλεσιν οὐδεὶς αὐτῶν φοβεῖται. τὰ μὲν οὖν ἄλλα
evil for-cities no-one of-them fears the-things indeed then other
ἐλάττω μεταβαλλόμενα κακὰ διεξεργάζοιτ᾽ ἄν, ὅσα περὶ
lesser changing evils would-work-out — as-many-as about
σχήματα πάσχει τὸ τοιοῦτον· ὅσα δὲ περὶ τὰ τῶν
figures suffers the such as-many-as and about the-things of-the
ἠθῶν ἐπαίνου τε καὶ ψόγου πέρι πυκνὰ μεταπίπτει, πάντων,
characters of-praise both and of-blame about frequently shift of-all
οἶομαι, μέγιστά τε καὶ πλείστης εὐλαβείας δεόμενα ἂν εἴη.
I-think greatest both and of-most caution needing — would-be

CLIN. πῶς γὰρ οὔ;
how for not

e ATH. τί οὖν; τοῖς ἔμπροσθεν λόγοις πιστεύομεν, οἷς
what then to-the before arguments do-we-trust in-which
ἐλέγομεν ὡς τὰ περὶ τοὺς ῥυθμοὺς καὶ πᾶσαν
we-said that the-things about the rhythms and all
μουσικήν ἐστιν τρόπων μιμήματα βελτιόνων καὶ χειρόνων
music are of-ways imitations of-better and of-worse
ἀνθρώπων; ἢ πῶς;
men or how

CLIN. οὐδαμῶς ἄλλως πως τό γε παρ᾽ ἡμῖν δόγμα
in-no-way otherwise somehow the at-least among us doctrine
ἔχον ἂν εἴη.
being — would-be

ATH. οὐκοῦν, φαμέν, ἅπασαν μηχανητέον μηχανὴν ὅπως
therefore we-say every must-be-contrived device so-that
ἂν ἡμῖν οἱ παῖδες μήτε ἐπιθυμῶσιν ἄλλων μιμημάτων
— for-us the children neither desire other imitations

ἅπτεσθαι κατὰ ὀρχήσεις ἢ κατὰ μελῳδίας, μήτε τις
to-touch in dances or in melodies nor anyone
αὐτοὺς πείσῃ προσάγων παντοίας ἡδονάς;
them persuade applying all-kinds-of pleasures

CLIN. ὀρθότατα λέγεις.
most-rightly you-speak

ATH. ἔχει τις οὖν ἡμῶν ἐπὶ τὰ τοιαῦτα βελτίω τινα 799
has anyone then of-us for the such-things better some
τέχνην τῆς τῶν Αἰγυπτίων;
art than-the of-the Egyptians

CLIN. ποίας δὴ λέγεις;
what-sort indeed do-you-mean

ATH. τοῦ καθιερῶσαι πᾶσαν μὲν ὄρχησιν, πάντα δὲ μέλη, b
the to-consecrate every indeed dance all and songs
τάξαντας πρῶτον μὲν τὰς ἑορτάς, συλλογισαμένους εἰς
having-ordered first indeed the festivals having-computed into
τὸν ἐνιαυτὸν ἅστινας ἐν οἷς χρόνοις καὶ οἵστισιν ἑκάστοις
the year which in what times and for-which each
τῶν θεῶν καὶ παισὶ τούτων καὶ δαίμοσι γίγνεσθαι χρεών,
of-the gods and children of-these and daemons to-come-about it-is-needful
μετὰ δὲ τοῦτο, ἐπὶ τοῖς τῶν θεῶν θύμασιν ἑκάστοις ἣν
after and this for the of-the gods sacrifices each what
ᾠδὴν δεῖ ἐφυμνεῖσθαι, καὶ χορείαις ποίαισιν γεραίρειν
song one-must to-be-hymned and with-dances of-what-sort to-honor
τὴν τότε θυσίαν, τάξαι μὲν πρῶτόν τινας, ἃ δ’
the then sacrifice to-order indeed first some what-things and
ἂν ταχθῇ, Μοίραις καὶ τοῖς ἄλλοις πᾶσι θεοῖς θύσαντας
— be-ordered to-the-Fates and to-the other all gods having-sacrificed
κοινῇ πάντας τοὺς πολίτας, σπένδοντας καθιεροῦν
in-common all the citizens pouring-libations to-consecrate
ἑκάστας τὰς ᾠδὰς ἑκάστοις τῶν θεῶν καὶ τῶν ἄλλων·
each the songs to-each of-the gods and of-the others

ἂν δὲ παρ᾽ αὐτά τίς τῳ θεῶν ἄλλους ὕμνους ἢ
if and beside these anyone to-any of-gods other hymns or
χορείας προσάγῃ, τοὺς ἱερέας τε καὶ τὰς ἱερείας μετὰ
dances bring the priests both and the priestesses with
νομοφυλάκων ἐξείργοντας ὁσίως ἐξείργειν καὶ κατὰ
law-guardians excluding piously to-exclude and according-to
νόμον, τὸν δὲ ἐξειργόμενον, ἂν μὴ ἑκὼν ἐξείργηται, δίκας
law the and excluded if not willingly he-be-excluded suits
ἀσεβείας διὰ βίου παντὸς τῷ ἐθελήσαντι παρέχειν.
of-impiety through life whole to-the having-wished to-be-liable

CLIN. ὀρθῶς.
rightly

c ATH. πρὸς τούτῳ δὴ νῦν γενόμενοι τῷ λόγῳ, πάθωμεν
at this indeed now having-arrived the argument let-us-experience
τὸ πρέπον ἡμῖν αὐτοῖς.
the fitting for-us ourselves

CLIN. τοῦ πέρι λέγεις;
of-what about do-you-mean

d ATH. πᾶς που νέος, μὴ ὅτι πρεσβύτης, ἰδὼν ἂν ἢ
every surely young not to-say old having-seen — or
καὶ ἀκούσας ὁτιοῦν τῶν ἐκτόπων καὶ μηδαμῇ πως
also having-heard anything-whatever of-the strange-things and in-no-way somehow
συνήθων, οὐκ ἄν ποτέ που τὸ ἀπορηθὲν περὶ αὐτῶν
familiar not — ever surely the perplexing about them
συγχωρήσειεν ἐπιδραμὼν οὕτως εὐθύς, στὰς δ᾽ ἄν,
would-concede having-run-on so at-once having-stopped and —
καθάπερ ἐν τριόδῳ γενόμενος καὶ μὴ σφόδρα κατειδὼς
as at crossroads having-come and not very knowing
ὁδόν, εἴτε μόνος εἴτε μετ᾽ ἄλλων τύχοι πορευόμενος,
road whether alone or with others he-happen traveling
ἀνέροιτ᾽ ἂν αὐτὸν καὶ τοὺς ἄλλους τὸ ἀπορούμενον,
would-ask — himself and the others the perplexing

καὶ οὐκ ἂν πρότερον ὁρμήσειεν, πρίν πῃ βεβαιώσαιτο
and not — sooner would-start before somehow he-should-confirm
τὴν σκέψιν τῆς πορείας ὅπῃ ποτὲ φέρει. καὶ δὴ
the examination of-the journey whither ever it-leads and indeed
καὶ τὸ παρὸν ἡμῖν ὡσαύτως ποιητέον· ἀτόπου γὰρ
also the present for-us likewise must-be-done strange for
τὰ νῦν ἐμπεπτωκότος λόγου περὶ νόμων, ἀνάγκη που
the now having-fallen-in argument about laws necessity surely
σκέψιν πᾶσαν ποιήσασθαι, καὶ μὴ ῥᾳδίως οὕτως περὶ
examination all to-make and not easily so about
τοσούτων τηλικούτους ὄντας φάναι διισχυριζομένους ἐν
such-great-things such-aged being to-say insisting in
τῷ παραχρῆμά τι σαφὲς ἂν εἰπεῖν ἔχειν.
the on-the-spot something clear — to-say to-be-able

CLIN. ἀληθέστατα λέγεις.
most-truly you-speak

ATH. οὐκοῦν τούτῳ μὲν χρόνον δώσομεν, βεβαιώσομεν δὲ τότε e
therefore to-this indeed time we-shall-give we-shall-confirm and then
αὐτό, ὁπόταν σκεψώμεθα ἱκανῶς· ἵνα δὲ μὴ τὴν ἑπομένην
it whenever we-examine sufficiently so-that and not the following
τάξιν τοῖς νόμοις τοῖς νῦν ἡμῖν παροῦσι διαπεράνασθαι
order to-the laws the now for-us present to-complete
κωλυθῶμεν μάτην, ἴωμεν πρὸς τὸ τέλος αὐτῶν. τάχα γὰρ
we-be-prevented in-vain let-us-go to the end of-them perhaps for
ἴσως, εἰ θεὸς ἐθέλοι, κἂν ἡ διέξοδος αὕτη ὅλη σχοῦσα
perhaps if god should-wish even the going-through this whole having-had
τέλος ἱκανῶς ἂν μηνύσειε καὶ τὸ νῦν διαπορούμενον.
end sufficiently — would-reveal also the now perplexing

CLIN. ἄριστ', ὦ ξένε, λέγεις, καὶ ποιῶμεν οὕτως ὡς
excellently O stranger you-speak and let-us-do so as
εἴρηκας.
you-have-said

Songs are to be laws, and no one may sing against them. Choruses may not wail beside the altars at a sacrifice; dirges belong to ill-omened days, sung by hired foreign choruses like the mourners at funerals. The poet's laws: speak no ill at holy rites, know what is good before asking it of the gods in prayer, compose nothing against the city's ideas of the just and the good, and show no poem to anyone before the judges and law-guardians approve it. Gods, heroes, and citizens who have ended their lives well may be praised, never the living. Old songs and dances are to be chosen by judges over fifty, and the grand and brave songs fitting men are distinguished from the orderly and modest ones fitting women.

800 ΑΤΗ. δεδόχθω μὲν δή, φαμέν, τὸ ἄτοπον τοῦτο, νόμους
let-it-be-resolved indeed indeed we-say the strange this laws
τὰς ᾠδὰς ἡμῖν γεγονέναι, καὶ καθάπερ οἱ παλαιοὶ τότε
the songs for-us to-have-become and as the ancients then
περὶ κιθαρῳδίαν οὕτω πως, ὡς ἔοικεν, ὠνόμασαν — ὥστε
about lyre-singing so somehow as it-seems named so-that
τάχ᾽ ἂν οὐδ᾽ ἐκεῖνοι παντάπασί γ᾽ ἂν ἀφεστῶτες
perhaps — not-even those altogether at-least — standing-apart
εἶεν τοῦ νῦν λεγομένου, καθ᾽ ὕπνον δὲ οἷόν πού τις
would-be from-the now said in sleep and as surely someone
ἢ καὶ ὕπαρ ἐγρηγορὼς ὠνείρωξεν μαντευόμενος αὐτό —
or also waking awake dreamed divining it
τὸ δ᾽ οὖν δόγμα περὶ αὐτοῦ τοῦτ᾽ ἔστω· παρὰ τὰ
the and then doctrine about it this let-be against the
δημόσια μέλη τε καὶ ἱερὰ καὶ τὴν τῶν νέων σύμπασαν
public melodies both and sacred and the of-the young whole
χορείαν μηδεὶς μᾶλλον ἢ παρ᾽ ὁντινοῦν ἄλλον τῶν
dancing no-one more than against any-whatever other of-the
νόμων φθεγγέσθω μηδ᾽ ἐν ὀρχήσει κινείσθω. καὶ ὁ μὲν
laws let-utter nor in dance let-move and the indeed

τοιοῦτος ἀζήμιος ἀπαλλαττέσθω, τὸν δὲ μὴ πειθόμενον,
such unpunished let-be-released the and not obeying
καθάπερ ἐρρήθη νυνδή, νομοφύλακές τε καὶ ἱέρειαι καὶ
as was-said just-now law-guardians both and priestesses and
ἱερῆς κολαζόντων. κείσθω δὲ νῦν ἡμῖν ταῦτα τῷ λόγῳ;
priests let-them-punish let-lie and now for-us these-things by-the argument
CLIN. κείσθω.
let-them-lie
ATH. τίνα δὴ τρόπον αὐτὰ νομοθετῶν τις μὴ παντάπασιν c
in-what indeed way them legislating anyone not altogether
καταγέλαστος γίγνοιτ' ἄν; ἴδωμεν δὴ τὸ τοιόνδ' ἔτι
ridiculous would-become — let-us-see indeed the such still
περὶ αὐτά. ἀσφαλέστατον καθάπερ ἐκμαγεῖ' ἄττ' αὐτοῖσιν
about them safest as molds some for-them
πρῶτον πλάσασθαι τῷ λόγῳ, λέγω δὲ ἓν μὲν τῶν
first to-mold in-the argument I-mean and one indeed of-the
ἐκμαγείων εἶναι τοιόνδε τι· θυσίας γενομένης καὶ
molds to-be such something sacrifice having-taken-place and
ἱερῶν καυθέντων κατὰ νόμον, εἴ τῳ τις, φαμέν,
offerings having-been-burned according-to law if to-anyone someone we-say
ἰδίᾳ παραστὰς τοῖς βωμοῖς τε καὶ ἱεροῖς, ὑὸς ἢ καὶ
in-private standing-beside the altars both and offerings son or even
ἀδελφός, βλασφημοῖ πᾶσαν βλασφημίαν, ἆρ' οὐκ, ἂν
brother should-blaspheme every blasphemy then not —
φαῖμεν, ἀθυμίαν καὶ κακὴν ὅτταν καὶ μαντείαν πατρὶ
would-we-say despondency and evil omen and prophecy for-father
καὶ τοῖς ἄλλοις ἂν οἰκείοις φθέγγοιτο ἐντιθείς;
and for-the other — kinsmen he-would-utter putting-in
CLIN. τί μήν;
what indeed

d ΑΤΗ. ἐν τοίνυν τοῖς παρ᾽ ἡμῖν τόποις τοῦτ᾽ ἐστὶν ταῖς
in then the among us places this is for-the
πόλεσι γιγνόμενον ὡς ἔπος εἰπεῖν σχεδὸν ὀλίγου πάσαις·
cities happening so a-word to-say nearly almost in-all
δημοσίᾳ γάρ τινα θυσίαν ὅταν ἀρχή τις θύσῃ, μετὰ
publicly for some sacrifice whenever office some sacrifice after
ταῦτα χορὸς οὐχ εἷς ἀλλὰ πλῆθος χορῶν ἥκει, καὶ
these-things chorus not one but multitude of-choruses comes and
στάντες οὐ πόρρω τῶν βωμῶν ἀλλὰ παρ᾽ αὐτοὺς ἐνίοτε,
standing not far from-the altars but beside them sometimes
πᾶσαν βλασφημίαν τῶν ἱερῶν καταχέουσιν, ῥήμασί τε καὶ
every blasphemy of-the offerings pour-down with-words both and
ῥυθμοῖς καὶ γοωδεστάταις ἁρμονίαις συντείνοντες τὰς τῶν
with-rhythms and with-most-wailing harmonies straining the of-the
ἀκροωμένων ψυχάς, καὶ ὃς ἂν δακρῦσαι μάλιστα τὴν
listening souls and whoever — to-weep most the
θύσασαν παραχρῆμα ποιήσῃ πόλιν, οὗτος τὰ νικητήρια
having-sacrificed at-once makes city this-one the prizes
φέρει. τοῦτον δὴ τὸν νόμον ἆρ᾽ οὐκ ἀποψηφιζόμεθα;
carries this indeed the custom then not do-we-vote-down
καὶ εἴ ποτ᾽ ἄρα δεῖ τοιούτων οἴκτων γίγνεσθαι τοὺς
and if ever then one-must of-such laments to-become the
πολίτας ἐπηκόους, ὁπόταν ἡμέραι μὴ καθαραί τινες
citizens hearers whenever days not pure some
ἀλλὰ ἀποφράδες ὦσιν, τόθ᾽ ἥκειν δέον ἂν εἴη μᾶλλον
but ill-omened be then to-come needful — would-be rather
χορούς τινας ἔξωθεν μεμισθωμένους ᾠδούς, οἷον οἱ
choruses some from-outside hired singers as the
περὶ τοὺς τελευτήσαντας μισθούμενοι Καρικῇ τινι μούσῃ
about the dead hired with-Carian some music
προπέμπουσι τοὺς τελευτήσαντας; τοιοῦτόν που πρέπον ἂν
escort the dead such surely fitting —

εἴη καὶ περὶ τὰς τοιαύτας ᾠδὰς γιγνόμενον, καὶ δὴ
would-be also about the such songs happening and indeed
καὶ στολή γέ που ταῖς ἐπικηδείοις ᾠδαῖς οὐ στέφανοι
also dress at-least surely for-the funeral songs not garlands
πρέποιεν ἂν οὐδ' ἐπίχρυσοι κόσμοι, πᾶν δὲ τοὐναντίον,
would-befit — nor gilded ornaments all and the-opposite
ἵν' ὅτι τάχιστα περὶ αὐτῶν λέγων ἀπαλλάττωμαι. τὸ δὲ
so-that as most-quickly about them speaking I-may-be-done the and
τοσοῦτον ἡμᾶς αὐτοὺς ἐπανερωτῶ πάλιν, τῶν ἐκμαγείων
so-much us ourselves I-ask-again again of-the molds
ταῖς ᾠδαῖς εἰ πρῶτον ἓν τοῦθ' ἡμῖν ἀρέσκον κείσθω.
for-the songs if first one this for-us pleasing let-lie

CLIN. τὸ ποῖον;
the what-sort

ATH. εὐφημία, καὶ δὴ καὶ τὸ τῆς ᾠδῆς γένος εὔφημον 801
auspicious-speech and indeed also the of-the song kind auspicious
ἡμῖν πάντῃ πάντως ὑπαρχέτω; ἢ μηδὲν ἐπανερωτῶ,
for-us in-every-way altogether let-it-be or nothing do-I-ask-again
τιθῶ δὲ τοῦτο οὕτως;
let-me-set and this so

CLIN. παντάπασι μὲν οὖν τίθει· νικᾷ γὰρ πάσαισι ταῖς
altogether indeed then set-it it-wins for with-all the
ψήφοις οὗτος ὁ νόμος.
votes this the law

ATH. τίς δὴ μετ' εὐφημίαν δεύτερος ἂν εἴη νόμος
what indeed after auspicious-speech second — would-be law
μουσικῆς; ἆρ' οὐκ εὐχὰς εἶναι τοῖς θεοῖς οἷς θύομεν
of-music then not prayers to-be to-the gods to-whom we-sacrifice
ἑκάστοτε;
each-time

CLIN. πῶς γὰρ οὔ;
how for not

b ATH. τρίτος δ' οἶμαι νόμος, ὅτι γνόντας δεῖ τοὺς
third and I-think law that knowing one-must the
ποιητὰς ὡς εὐχαὶ παρὰ θεῶν αἰτήσεις εἰσίν, δεῖ δὴ
poets that prayers from gods requests are one-must indeed
τὸν νοῦν αὐτοὺς σφόδρα προσέχειν μή ποτε λάθωσιν
the mind them very to-attend lest ever they-escape-notice
κακὸν ὡς ἀγαθὸν αἰτούμενοι· γελοῖον γὰρ δὴ τὸ πάθος
evil as good requesting laughable for indeed the experience
οἶμαι τοῦτ' ἂν γίγνοιτο, εὐχῆς τοιαύτης γενομένης.
I-think this — would-be prayer such having-taken-place

CLIN. τί μήν;
what indeed

ATH. οὐκοῦν ἡμεῖς ἔμπροσθεν σμικρὸν τῷ λόγῳ ἐπείσθημεν
therefore we before a-little by-the argument were-persuaded
ὡς οὔτε ἀργυροῦν δεῖ πλοῦτον οὔτε χρυσοῦν ἐν πόλει
that neither silver one-must wealth nor golden in city
ἱδρυμένον ἐνοικεῖν;
established to-dwell

CLIN. πάνυ μὲν οὖν.
certainly indeed then

c ATH. τίνος οὖν ποτε παράδειγμα εἰρῆσθαι φῶμεν τοῦτον τὸν
of-what then ever example to-have-been-said let-us-say this the
λόγον; ἆρ' οὐ τοῦδε, ὅτι τὸ τῶν ποιητῶν γένος οὐ πᾶν ἱκανόν
argument then not of-this that the of-the poets kind not all sufficient
ἐστι γιγνώσκειν σφόδρα τά τε ἀγαθὰ καὶ μή; ποιήσας
is to-know very the both good-things and not having-made
οὖν δήπου τὶς ποιητὴς ῥήμασιν ἢ καὶ κατὰ μέλος τοῦτο
then surely some poet with-words or also in melody this
ἡμαρτημένον, εὐχὰς οὐκ ὀρθάς, ἡμῖν τοὺς πολίτας περὶ τῶν
erring prayers not right for-us the citizens about the
μεγίστων εὔχεσθαι τἀναντία ποιήσει· καίτοι τούτου, καθάπερ
greatest-things to-pray the-opposite will-make and-yet than-this as

ἐλέγομεν, οὐ πολλὰ ἁμαρτήματα ἀνευρήσομεν μείζω. θῶμεν
we-were-saying not many errors we-shall-find greater let-us-set
δὴ καὶ τοῦτον τῶν περὶ μοῦσαν νόμων καὶ τύπων ἕνα;
indeed also this of-the about music laws and patterns one
CLIN. τίνα; σαφέστερον εἰπὲ ἡμῖν.
what more-clearly tell us
ATH. τὸν ποιητὴν παρὰ τὰ τῆς πόλεως νόμιμα καὶ δίκαια d
the poet against the of-the city customs and just-things
ἢ καλὰ ἢ ἀγαθὰ μηδὲν ποιεῖν ἄλλο, τὰ δὲ ποιηθέντα
or fine-things or good-things nothing to-make other the and made
μὴ ἐξεῖναι τῶν ἰδιωτῶν μηδενὶ πρότερον δεικνύναι,
not to-be-allowed of-the private-persons to-none sooner to-show
πρὶν ἂν αὐτοῖς τοῖς περὶ ταῦτα ἀποδεδειγμένοις κριταῖς
before — to-them the about these-things appointed judges
καὶ τοῖς νομοφύλαξιν δειχθῇ καὶ ἀρέσῃ· σχεδὸν δὲ
and to-the law-guardians it-be-shown and it-please nearly and
ἀποδεδειγμένοι εἰσὶν ἡμῖν οὓς εἱλόμεθα νομοθέτας περὶ τὰ
appointed are for-us whom we-chose lawgivers about the
μουσικὰ καὶ τὸν τῆς παιδείας ἐπιμελητήν. τί οὖν; ὃ
musical-things and the of-the education overseer what then which
πολλάκις ἐρωτῶ, κείσθω νόμος ἡμῖν καὶ τύπος ἐκμαγεῖόν
often I-ask let-lie law for-us and pattern mold
τε τρίτον τοῦτο; ἢ πῶς δοκεῖ;
both third this or how does-it-seem
CLIN. κείσθω· τί μήν;
let-it-lie what indeed
ATH. μετά γε μὴν ταῦτα ὕμνοι θεῶν καὶ ἐγκώμια e
after at-least indeed these-things hymns of-gods and encomia
κεκοινωνημένα εὐχαῖς ᾄδοιτ' ἂν ὀρθότατα, καὶ μετὰ
joined with-prayers would-be-sung — most-rightly and after

θεοὺς ὡσαύτως περὶ δαίμονάς τε καὶ ἥρωας μετ'
gods likewise about daemons both and heroes with
ἐγκωμίων εὐχαὶ γίγνοιντ' ἂν τούτοις πᾶσιν πρέπουσαι.
encomia prayers would-come-about — to-these all fitting

CLIN. πῶς γὰρ οὔ;
how for not

ATH. μετά γε μὴν ταῦτ' ἤδη νόμος ἄνευ φθόνων
after at-least indeed these-things already law without grudgings
εὐθὺς γίγνοιτ' ἂν ὅδε· τῶν πολιτῶν ὁπόσοι τέλος
at-once would-come-about — this of-the citizens as-many-as end
ἔχοιεν τοῦ βίου, κατὰ σώματα ἢ κατὰ ψυχὰς ἔργα
should-have of-the life by bodies or by souls works
ἐξειργασμένοι καλὰ καὶ ἐπίπονα καὶ τοῖς νόμοις εὐπειθεῖς
having-accomplished fine and toilsome and to-the laws obedient
γεγονότες, ἐγκωμίων αὐτοὺς τυγχάνειν πρέπον ἂν εἴη.
having-become of-encomia them to-obtain fitting — would-be

CLIN. πῶς δ' οὔ;
how and not

802 ATH. τούς γε μὴν ἔτι ζῶντας ἐγκωμίοις τε καὶ ὕμνοις
the at-least indeed still living with-encomia both and with-hymns
τιμᾶν οὐκ ἀσφαλές, πρὶν ἂν ἅπαντά τις τὸν βίον
to-honor not safe before — all-of anyone the life
διαδραμὼν τέλος ἐπιστήσηται καλόν· ταῦτα δὲ πάντα
having-run-through end he-set fine these-things and all
ἡμῖν ἔστω κοινὰ ἀνδράσιν τε καὶ γυναιξὶν ἀγαθοῖς καὶ
for-us let-be common for-men both and for-women good and
ἀγαθαῖς διαφανῶς γενομένοις. τὰς δὲ ᾠδάς τε καὶ
good conspicuously having-become the and songs both and
ὀρχήσεις οὑτωσὶ χρὴ καθίστασθαι. πολλὰ ἔστιν παλαιῶν
dances in-this-way one-must to-be-established many-things are of-ancients
παλαιὰ περὶ μουσικὴν καὶ καλὰ ποιήματα, καὶ δὴ καὶ
old about music and fine poems and indeed also

τοῖς σώμασιν ὀρχήσεις ὡσαύτως, ὧν οὐδεὶς φθόνος
for-the bodies dances likewise of-which no grudge
ἐκλέξασθαι τῇ καθισταμένῃ πολιτείᾳ τὸ πρέπον καὶ
to-select for-the being-established constitution the fitting and
ἁρμόττον· δοκιμαστὰς δὲ τούτων ἑλομένους τὴν ἐκλογὴν
suitable examiners and of-these having-chosen the selection
ποιεῖσθαι μὴ νεωτέρους πεντήκοντα ἐτῶν, καὶ ὅτι μὲν
to-make not younger than-fifty years and whatever indeed
ἂν ἱκανὸν εἶναι δόξῃ τῶν παλαιῶν ποιημάτων, ἐγκρίνειν,
— sufficient to-be may-seem of-the old poems to-admit
ὅτι δ' ἂν ἐνδεὲς ἢ τὸ παράπαν ἀνεπιτήδειον, τὸ
whatever and — deficient or the altogether unsuitable the(-one)
μὲν ἀποβάλλεσθαι παντάπασιν, τὸ δ' ἐπανερόμενον
indeed to-be-rejected altogether the(-other) and re-examining
ἐπιρρυθμίζειν, ποιητικοὺς ἅμα καὶ μουσικοὺς ἄνδρας
to-rework poetic at-once and musical men
παραλαβόντας, χρωμένους αὐτῶν ταῖς δυνάμεσιν τῆς
having-taken-along using of-them the powers of-the
ποιήσεως, ταῖς δὲ ἡδοναῖς καὶ ἐπιθυμίαις μὴ ἐπιτρέποντας
poetry to-the and pleasures and desires not entrusting
ἀλλ' ἤ τισιν ὀλίγοις, ἐξηγουμένους δὲ τὰ τοῦ νομοθέτου
but than to-some few interpreting and the of-the lawgiver
βουλήματα, ὅτι μάλιστα ὄρχησίν τε καὶ ᾠδὴν καὶ πᾶσαν
wishes as most dance both and song and all
χορείαν συστήσασθαι κατὰ τὸν αὐτῶν νοῦν.
dancing to-compose according-to the of-them mind
πᾶσα δ' ἄτακτός γε τάξιν λαβοῦσα περὶ μοῦσαν d
all and disorderly at-least order having-received about music
διατριβὴ καὶ μὴ παρατιθεμένης τῆς γλυκείας μούσης
pastime even not being-set-beside the sweet muse
ἀμείνων μυρίῳ· τὸ δ' ἡδὺ κοινὸν πάσαις. ἐν ᾗ γὰρ
better ten-thousand-fold the and pleasant common to-all in which for

ἂν ἐκ παίδων τις μέχρι τῆς ἑστηκυίας τε καὶ ἔμφρονος
— *from childhood anyone up-to the settled both and sensible*
ἡλικίας διαβιῷ, σώφρονι μὲν μούσῃ καὶ τεταγμένῃ, ἀκούων
age lives-through temperate indeed muse and ordered hearing
δὲ τῆς ἐναντίας, μισεῖ καὶ ἀνελεύθερον αὐτὴν προσαγορεύει,
and the opposite he-hates and illiberal it calls
τραφεὶς δ' ἐν τῇ κοινῇ καὶ γλυκείᾳ, ψυχρὰν καὶ ἀηδῆ
reared and in the common and sweet cold and unpleasant
τὴν ταύτῃ ἐναντίαν εἶναί φησιν· ὥστε, ὅπερ ἐρρήθη
the to-this opposite to-be he-says so-that which-very was-said
νυνδή, τό γε τῆς ἡδονῆς ἢ ἀηδίας περὶ ἑκατέρας οὐδὲν
just-now the at-least of-the pleasure or unpleasantness about each nothing
πεπλεονέκτηκεν, ἐκ περιττοῦ δὲ ἡ μὲν βελτίους, ἡ
has-the-advantage from excess and the(-one) indeed better the(-other)
δὲ χείρους τοὺς ἐν αὐτῇ τραφέντας ἑκάστοτε παρέχεται.
and worse the in it reared each-time renders
CLIN. καλῶς εἴρηκας.
finely you-have-spoken
e ATH. ἔτι δὲ θηλείαις τε πρεπούσας ᾠδὰς ἄρρεσί τε χωρίσαι
still and for-females both fitting songs for-males and to-separate
που δέον ἂν εἴη τύπῳ τινὶ διορισάμενον, καὶ ἁρμονίαισιν
surely needful — would-be by-pattern some having-distinguished and to-harmonies
δὴ καὶ ῥυθμοῖς προσαρμόττειν ἀναγκαῖον· δεινὸν γὰρ
indeed and to-rhythms to-fit necessary terrible for
ὅλῃ γε ἁρμονίᾳ ἀπᾴδειν ἢ ῥυθμῷ ἀρρυθμεῖν,
with-whole at-least harmony to-sing-out-of-tune or with-rhythm to-be-out-of-rhythm
μηδὲν προσήκοντα τούτων ἑκάστοις ἀποδιδόντα τοῖς
nothing fitting of-these to-each rendering to-the
μέλεσιν. ἀναγκαῖον δὴ καὶ τούτων τὰ σχήματά γε
melodies necessary indeed also of-these the figures at-least
νομοθετεῖν. ἔστιν δὲ ἀμφοτέροις μὲν ἀμφότερα ἀνάγκῃ
to-legislate it-is and for-both indeed both-things by-necessity

κατεχόμενα ἀποδιδόναι, τὰ δὲ τῶν θηλειῶν αὐτῷ
held to-render the-things and of-the females by-itself
τῷ τῆς φύσεως ἑκατέρου διαφέροντι, τούτῳ δεῖ καὶ
the of-the nature of-each differing by-this one-must also
διασαφεῖν. τὸ δὴ μεγαλοπρεπὲς οὖν καὶ τὸ πρὸς τὴν
to-make-clear the indeed magnificent then and the toward the
ἀνδρείαν ῥέπον ἀρρενωπὸν φατέον εἶναι, τὸ δὲ πρὸς
courage inclining manly must-be-said to-be the and toward
τὸ κόσμιον καὶ σῶφρον μᾶλλον ἀποκλῖνον θηλυγενέστερον
the orderly and temperate rather inclining more-feminine
ὡς ὂν παραδοτέον ἔν τε τῷ νόμῳ καὶ λόγῳ.
as being must-be-transmitted in both the law and argument

VI · MAN THE GODS' PLAYTHING

As a shipwright lays down keels, the Athenian lays down the keels of lives. Human affairs are not worth great seriousness: man is a plaything of god, and that is the best in him, so he should live playing the finest games, sacrifice, song, and dance. Megillus protests that this belittles men, and the Athenian asks pardon and allows that they deserve some seriousness. Schools and gymnasia stand in three places, with paid foreign teachers; education is compulsory, since children belong to the city, and girls train in riding and gymnastics as well, as the Sauromatian women do, or the city lives on half its strength. Clinias lets him go on, and he asks whether women should labor like Thracian women or keep house as in Athens.

ATH. τάξις μὲν δή τις αὕτη· τούτων δὲ αὐτῶν διδασκαλία 803
order indeed indeed some this of-these and themselves teaching
καὶ παράδοσις λεγέσθω τὸ μετὰ τοῦτο, τίνα τρόπον χρὴ
and transmission let-be-told the after this in-what way one-must
καὶ οἵστισιν καὶ πότε πράττειν ἕκαστα αὐτῶν. οἷον δή
and to-whom and when to-do each of-them as indeed
τις ναυπηγὸς τὴν τῆς ναυπηγίας ἀρχὴν καταβαλλόμενος
some shipwright the of-the shipbuilding beginning laying-down

τὰ τροπιδεῖα ὑπογράφεται τῶν πλοίων σχήματα, ταὐτὸν
the keels sketches of-the vessels shapes the-same
δή μοι κἀγὼ φαίνομαι ἐμαυτῷ δρᾶν, τὰ τῶν βίων
indeed to-me I-too appear to-myself to-do the-things of-the lives
πειρώμενος σχήματα διαστήσασθαι κατὰ τρόπους τοὺς
trying shapes to-set-out according-to ways the
τῶν ψυχῶν, ὄντως αὐτῶν τὰ τροπιδεῖα καταβάλλεσθαι,
of-the souls really of-them the keels to-lay-down
ποίᾳ μηχανῇ καὶ τίσιν ποτὲ τρόποις συνόντες τὸν βίον
by-what-sort device and in-what ever ways being-together the life
ἄριστα διὰ τοῦ πλοῦ τούτου τῆς ζωῆς διακομισθησόμεθα,
best through the voyage this of-the life we-shall-be-carried-across
τοῦτο σκοπεῖν ὀρθῶς. ἔστι δὴ τοίνυν τὰ τῶν ἀνθρώπων
this to-examine rightly is indeed then the-things of-the men
πράγματα μεγάλης μὲν σπουδῆς οὐκ ἄξια, ἀναγκαῖόν γε
μεμελετηκυίας, γυναῖκας δέ, διεξόδων καὶ τάξεων καὶ
having-practiced women and of-maneuvers and of-formations and
θέσεως καὶ ἀναιρέσεως ὅπλων ἡμμένας, εἰ μηδενὸς
of-laying-down and of-taking-up of-arms having-touched if of-nothing(-else)

ἕνεκα, ἀλλ' εἴ ποτε δεήσειε πανδημεὶ πάσῃ τῇ
for-the-sake but if ever it-should-be-necessary in-full-force with-all the
δυνάμει καταλείποντας τὴν πόλιν ἔξω στρατεύεσθαι,
force leaving the city outside to-campaign
τοὺς φυλάξοντας παῖδάς τε καὶ τὴν ἄλλην πόλιν
the going-to-guard children both and the other city
ἱκανοὺς εἶναι τό γε τοσοῦτον, ἢ καὶ τοὐναντίον,
sufficient to-be the at-least so-much or also the-opposite
ὧν οὐδὲν ἀπώμοτον, ἔξωθεν πολεμίους εἰσπεσόντας
of-which nothing sworn-off from-outside enemies having-fallen-upon
ῥώμῃ τινὶ μεγάλῃ καὶ βίᾳ, βαρβάρους εἴτε Ἕλληνας,
with-strength some great and with-force barbarians or Greeks
ἀνάγκην παρασχεῖν περὶ αὐτῆς τῆς πόλεως τὴν διαμάχην
necessity to-provide about itself the city the fight-to-the-end
γίγνεσθαι, πολλή που κακία πολιτείας οὕτως αἰσχρῶς τὰς
to-come-about much surely badness of-constitution so shamefully the
γυναῖκας εἶναι τεθραμμένας, ὡς μηδ' ὥσπερ ὄρνιθας περὶ
women to-be reared that not-even as birds about
τέκνων μαχομένας πρὸς ὁτιοῦν τῶν ἰσχυροτάτων θηρίων
young fighting against any-whatever of-the strongest beasts
ἐθέλειν ἀποθνῄσκειν τε καὶ πάντας κινδύνους κινδυνεύειν,
to-be-willing to-die both and all dangers to-risk
ἀλλ' εὐθὺς πρὸς ἱερὰ φερομένας, πάντας βωμούς τε καὶ
but at-once to sanctuaries rushing all altars both and
ναοὺς ἐμπιμπλάναι, καὶ δόξαν τοῦ τῶν ἀνθρώπων γένους
temples to-fill and opinion of-the of-the men race
καταχεῖν ὡς πάντων δειλότατον φύσει θηρίων ἐστίν.
to-pour-down as of-all most-cowardly by-nature of-beasts it-is
c CLIN. οὐ μὰ τὸν Δία, ὦ ξένε, οὐδαμῶς εὔσχημον γίγνοιτ'
not by the Zeus O stranger in-no-way seemly would-be
ἄν, τοῦ κακοῦ χωρίς, τοῦτο ἐν πόλει ὅπου γίγνοιτο.
— of-the evil apart this in city where it-should-come-about

ATH. οὐκοῦν τιθῶμεν τὸν νόμον τοῦτον, μέχρι γε τοσούτου
therefore let-us-set the law this up-to at-least so-far
μὴ ἀμελεῖσθαι τὰ περὶ τὸν πόλεμον γυναιξὶν δεῖν,
not to-be-neglected the-things about the war by-women to-be-necessary
ἐπιμελεῖσθαι δὲ πάντας τοὺς πολίτας καὶ τὰς πολίτιδας;
to-take-care and all the citizens and the female-citizens
CLIN. ἐγὼ γοῦν συγχωρῶ.
I at-any-rate concede
ATH. πάλης τοίνυν τὰ μὲν εἴπομεν, ὃ δ' ἐστὶ d
of-wrestling then the-things indeed we-said what and is
μέγιστον, ὡς ἐγὼ φαίην ἄν, οὐκ εἰρήκαμεν, οὐδ' ἔστι
greatest as I would-say — not we-have-said nor is
ῥᾴδιον ἄνευ τοῦ τῷ σώματι δεικνύντα ἅμα καὶ τῷ
easy without the with-the body showing at-once and with-the
λόγῳ φράζειν. τοῦτ' οὖν τότε κρινοῦμεν, ὅταν ἔργῳ λόγος
word to-declare this then then we-shall-judge whenever in-deed word
ἀκολουθήσας μηνύσῃ τι σαφὲς τῶν τε ἄλλων ὧν
having-followed reveal something clear of-the both other-things which
εἴρηκεν πέρι, καὶ ὅτι τῇ πολεμικῇ μάχῃ πασῶν κινήσεων
it-has-said about and that to-the warlike battle of-all movements
ὄντως ἐστὶ συγγενὴς πολὺ μάλισθ' ἡμῖν ἡ τοιαύτη πάλη,
really is akin by-far most for-us the such wrestling
καὶ δὴ καὶ ὅτι δεῖ ταύτην ἐκείνης χάριν ἐπιτηδεύειν,
and indeed also that one-must this of-that for-the-sake to-practice
ἀλλ' οὐκ ἐκείνην ταύτης ἕνεκα μανθάνειν.
but not that of-this for-the-sake to-learn
CLIN. καλῶς τοῦτό γε λέγεις.
finely this at-least you-say
ATH. νῦν δὴ τῆς μὲν περὶ παλαίστραν δυνάμεως τὸ μέχρι e
now indeed of-the indeed about palaestra power the up-to
δεῦρ' ἡμῖν εἰρήσθω· περὶ δὲ τῆς ἄλλης κινήσεως παντὸς
hither for-us let-be-said about and the other movement of-whole

τοῦ σώματος, ἧς τὸ πλεῖστον μέρος ὄρχησίν τινά τις
the body of-which the greatest part dance some anyone
προσαγορεύων ὀρθῶς ἂν φθέγγοιτο, δύο μὲν αὐτῆς εἴδη
calling rightly — would-speak two indeed of-it kinds
χρὴ νομίζειν εἶναι, τὴν μὲν τῶν καλλιόνων σωμάτων
one-must to-consider to-be the(-one) indeed of-the finer bodies
ἐπὶ τὸ σεμνὸν μιμουμένην, τὴν δὲ τῶν αἰσχιόνων
toward the solemn imitating the(-other) and of-the uglier
ἐπὶ τὸ φαῦλον, καὶ πάλιν τοῦ φαύλου τε δύο καὶ τοῦ
toward the base and again of-the base both two and of-the
σπουδαίου δύο ἕτερα.
serious two others

X · WAR DANCE, PEACE DANCE, COMEDY, AND TRAGEDY

The serious dance is twofold: the pyrrhic, which imitates dodging blows and striking, and the peaceful dance of men in good fortune. Bacchic dances that imitate drunken nymphs and satyrs are not the citizens'. Comedy must be known, to recognize the ridiculous, but is acted by slaves and hired foreigners. If tragic poets ask to perform, the answer is that the citizens are tragedians themselves, since their constitution imitates the finest life, and the magistrates must first judge whether the poets' plays may be shown.

815 ΑΘΗ. τοῦ δὴ σπουδαίου τὴν μὲν κατὰ πόλεμον καὶ
of-the indeed serious the(-one) indeed in war and
ἐν βιαίοις ἐμπλακέντων πόνοις σωμάτων μὲν καλῶν,
in violent entangled toils of-bodies indeed fine
ψυχῆς δ' ἀνδρικῆς, τὴν δ' ἐν εὐπραγίαις τε οὔσης
of-soul and manly the(-other) and in good-fortunes both being
ψυχῆς σώφρονος ἐν ἡδοναῖς τε ἐμμέτροις· εἰρηνικὴν ἄν
of-soul temperate in pleasures both measured peaceful —

τις λέγων κατὰ φύσιν τὴν τοιαύτην ὄρχησιν λέγοι.
anyone calling according-to nature the such dance would-call
τὴν πολεμικὴν δὴ τούτων, ἄλλην οὖσαν τῆς εἰρηνικῆς,
the warlike indeed of-these other being than-the peaceful
πυρρίχην ἄν τις ὀρθῶς προσαγορεύοι, τάς τε εὐλαβείας
pyrrhic — anyone rightly would-call the both evasions
πασῶν πληγῶν καὶ βολῶν ἐκνεύσεσι καὶ ὑπείξει πάσῃ καὶ
of-all blows and missiles with-swervings and yielding all and
ἐκπηδήσεσιν ἐν ὕψει καὶ σὺν ταπεινώσει μιμουμένην, καὶ
with-leaps in height and with crouching imitating and
τὰς ταύταις ἐναντίας, τὰς ἐπὶ τὰ δραστικὰ φερομένας
the to-these opposite the toward the active carried
αὖ σχήματα, ἔν τε ταῖς τῶν τόξων βολαῖς καὶ ἀκοντίων
again postures in both the of-the bows shots and of-javelins
καὶ πασῶν πληγῶν μιμήματα ἐπιχειρούσας μιμεῖσθαι· τό
and of-all blows imitations attempting to-imitate the
τε ὀρθὸν ἐν τούτοις καὶ τὸ εὔτονον, τῶν ἀγαθῶν σωμάτων
both upright in these and the well-tensed of-the good bodies
καὶ ψυχῶν ὁπόταν γίγνηται μίμημα, εὐθυφερὲς ὡς τὸ
and souls whenever occurs imitation straight-moving as the
πολὺ τῶν τοῦ σώματος μελῶν γιγνόμενον, ὀρθὸν μὲν τὸ
most-part of-the of-the body limbs becoming right indeed the
τοιοῦτον, τὸ δὲ τούτοις τοὐναντίον οὐκ ὀρθὸν ἀποδεχόμενον.
such the and to-these opposite not right accepting
τὴν δὲ εἰρηνικὴν ὄρχησιν τῇδ' αὖ θεωρητέον ἑκάστων, c
the and peaceful dance in-this-way again must-be-viewed of-each
εἴτε ὀρθῶς εἴτε μὴ κατὰ φύσιν τις τῆς καλῆς ὀρχήσεως
whether rightly or not according-to nature anyone of-the fine dance
ἀντιλαμβανόμενος ἐν χορείαις πρεπόντως εὐνόμων ἀνδρῶν
laying-hold in dances fittingly of-law-abiding men
διατελεῖ. τὴν τοίνυν ἀμφισβητουμένην ὄρχησιν δεῖ
continues the then disputed dance one-must

πρῶτον χωρὶς τῆς ἀναμφισβητήτου διατεμεῖν. τίς οὖν
first apart from-the undisputed to-cut-off what then
αὕτη, καὶ πῇ δεῖ χωρὶς τέμνειν ἑκατέραν; ὅση μὲν
this and how one-must apart to-cut each as-much-as indeed
βακχεία τ' ἐστὶν καὶ τῶν ταύταις ἑπομένων, ἃς Νύμφας
Bacchic both is and of-the these following which Nymphs
τε καὶ Πᾶνας καὶ Σειληνοὺς καὶ Σατύρους ἐπονομάζοντες,
both and Pans and Sileni and Satyrs naming
ὥς φασιν, μιμοῦνται κατῳνωμένους, περὶ καθαρμούς τε καὶ
as they-say they-imitate drunken about purifications both and
τελετάς τινας ἀποτελούντων, σύμπαν τοῦτο τῆς ὀρχήσεως
initiations some performing whole this of-the dance
τὸ γένος οὔθ' ὡς εἰρηνικὸν οὔθ' ὡς πολεμικὸν οὔθ' ὅτι ποτὲ
the kind neither as peaceful nor as warlike nor what ever
βούλεται ῥᾴδιον ἀφορίσασθαι· διορίσασθαι μήν μοι ταύτῃ
it-means easy to-define to-distinguish indeed to-me in-this-way
δοκεῖ σχεδὸν ὀρθότατον αὐτὸ εἶναι, χωρὶς μὲν πολεμικοῦ,
seems nearly most-right it to-be apart indeed from-warlike
χωρὶς δὲ εἰρηνικοῦ θέντας, εἰπεῖν ὡς οὐκ ἔστι πολιτικὸν
apart and from-peaceful having-set to-say that not is political
τοῦτο τῆς ὀρχήσεως τὸ γένος, ἐνταῦθα δὲ κείμενον
this of-the dance the kind here and lying
ἐάσαντας κεῖσθαι, νῦν ἐπὶ τὸ πολεμικὸν ἅμα καὶ εἰρηνικὸν
having-let to-lie now to the warlike at-once and peaceful
ὡς ἀναμφισβητήτως ἡμέτερον ὂν ἐπανιέναι. τὸ δὲ τῆς
as indisputably ours being to-return the and of-the
ἀπολέμου μούσης, ἐν ὀρχήσεσιν δὲ τούς τε θεοὺς καὶ
unwarlike muse in dances and the both gods and
τοὺς τῶν θεῶν παῖδας τιμώντων, ἓν μὲν σύμπαν γίγνοιτ'
the of-the gods children honoring one indeed whole would-be
ἂν γένος ἐν δόξῃ τοῦ πράττειν εὖ γιγνόμενον, τοῦτο δὲ
— kind in opinion of-the to-fare well coming-about this and

διχῇ διαιροῖμεν ἄν, τὸ μὲν ἐκ πόνων τινῶν αὐτοῦ
in-two we-might-divide — the(-one) indeed from toils some of-it
καὶ κινδύνων διαπεφευγότων εἰς ἀγαθά, μείζους ἡδονὰς
and dangers having-escaped into goods greater pleasures
ἔχον, τὸ δὲ τῶν ἔμπροσθεν ἀγαθῶν σωτηρίας οὔσης
having the(-other) and of-the former goods safety being
καὶ ἐπαύξης, πραοτέρας τὰς ἡδονὰς κεκτημένον ἐκείνων.
and increase milder the pleasures possessing than-those
ἐν δὲ δὴ τοῖς τοιούτοις που πᾶς ἄνθρωπος τὰς κινήσεις 816
in and indeed the such surely every man the movements
τοῦ σώματος μειζόνων μὲν τῶν ἡδονῶν οὐσῶν μείζους,
of-the body greater indeed the pleasures being greater
ἐλαττόνων δὲ ἐλάττους κινεῖται, καὶ κοσμιώτερος μὲν ὢν
lesser and lesser moves and more-orderly indeed being
πρός τε ἀνδρείαν μᾶλλον γεγυμνασμένος ἐλάττους αὖ, δειλὸς
for both courage more trained lesser again cowardly
δὲ καὶ ἀγύμναστος γεγονὼς πρὸς τὸ σωφρονεῖν μείζους καὶ
and and untrained having-become for the to-be-temperate greater and
σφοδροτέρας παρέχεται μεταβολὰς τῆς κινήσεως· ὅλως δὲ
more-violent provides changes of-the movement wholly and
φθεγγόμενος, εἴτ' ἐν ᾠδαῖς εἴτ' ἐν λόγοις, ἡσυχίαν οὐ πάνυ
uttering whether in songs or in words quiet not at-all
δυνατὸς τῷ σώματι παρέχεσθαι πᾶς. διὸ μίμησις τῶν
able with-the body to-provide every-one wherefore imitation of-the
λεγομένων σχήμασι γενομένη τὴν ὀρχηστικὴν ἐξηργάσατο
said-things by-figures having-happened the art-of-dance produced
τέχνην σύμπασαν. ὁ μὲν οὖν ἐμμελῶς ἡμῶν, ὁ
art whole the(-one) indeed then harmoniously of-us the(-other)
δὲ πλημμελῶς ἐν τούτοις πᾶσι κινεῖται. πολλὰ μὲν
and discordantly in these all moves many-things indeed
δὴ τοίνυν ἄλλα ἡμῖν τῶν παλαιῶν ὀνομάτων ὡς εὖ καὶ
indeed then other for-us of-the ancient names as well and

κατὰ φύσιν κείμενα δεῖ διανοούμενον ἐπαινεῖν, τούτων
according-to nature laid-down one-must considering to-praise of-these
δὲ ἓν καὶ τὸ περὶ τὰς ὀρχήσεις τὰς τῶν εὖ πραττόντων,
and one also the about the dances the of-the well faring
ὄντων δὲ μετρίων αὐτῶν πρὸς τὰς ἡδονάς, ὡς ὀρθῶς ἅμα
being and moderate them toward the pleasures how rightly at-once
καὶ μουσικῶς ὠνόμασεν ὅστις ποτ' ἦν, καὶ κατὰ λόγον
and musically named whoever ever he-was and according-to reason
αὐταῖς θέμενος ὄνομα συμπάσαις ἐμμελείας ἐπωνόμασε,
to-them having-set name to-all emmeleiai he-called
καὶ δύο δὴ τῶν ὀρχήσεων τῶν καλῶν εἴδη κατεστήσατο,
and two indeed of-the dances of-the fine kinds he-established
τὸ μὲν πολεμικὸν πυρρίχην, τὸ δὲ εἰρηνικὸν ἐμμέλειαν,
the indeed warlike pyrrhic the and peaceful emmeleia
ἑκατέρῳ τὸ πρέπον τε καὶ ἁρμόττον ἐπιθεὶς ὄνομα.
to-each the fitting both and suitable having-put name
d ἃ δὴ δεῖ τὸν μὲν νομοθέτην ἐξηγεῖσθαι τύποις, τὸν
which indeed one-must the indeed lawgiver to-explain with-patterns the
δὲ νομοφύλακα ζητεῖν τε, καὶ ἀνερευνησάμενον, μετὰ τῆς
and law-guardian to-seek both and having-investigated with the
ἄλλης μουσικῆς τὴν ὄρχησιν συνθέντα καὶ νείμαντα ἐπὶ
other music the dance having-composed and having-assigned to
πάσας ἑορτὰς τῶν θυσιῶν ἑκάστῃ τὸ πρόσφορον, οὕτω
all festivals of-the sacrifices to-each the suitable so
καθιερώσαντα αὐτὰ πάντα ἐν τάξει, τοῦ λοιποῦ μὴ κινεῖν
having-consecrated them all in order for-the future not to-move
μηδὲν μήτε ὀρχήσεως ἐχόμενον μήτε ᾠδῆς, ἐν ταῖς δ' αὐταῖς
nothing neither of-dance holding nor of-song in the and same
ἡδοναῖς ὡσαύτως τὴν αὐτὴν πόλιν καὶ πολίτας διάγοντας,
pleasures likewise the same city and citizens passing-life
ὁμοίους εἰς δύναμιν ὄντας, ζῆν εὖ τε καὶ εὐδαιμόνως.
alike to power being to-live well both and happily

τὰ μὲν οὖν τῶν καλῶν σωμάτων καὶ γενναίων ψυχῶν e
the-things indeed then of-the fine bodies and noble souls
εἰς τὰς χορείας, οἵας εἴρηται δεῖν αὐτὰς εἶναι,
for the dances such-as it-has-been-said to-be-necessary them to-be
διαπεπέρανται, τὰ δὲ τῶν αἰσχρῶν σωμάτων καὶ
have-been-completed the-things and of-the ugly bodies and
διανοημάτων καὶ τῶν ἐπὶ τὰ τοῦ γέλωτος κωμῳδήματα
thoughts and of-the to the-things of-the laughter comic-pieces
τετραμμένων, κατὰ λέξιν τε καὶ ᾠδὴν καὶ κατὰ ὄρχησιν
turned in speech both and song and in dance
καὶ κατὰ τὰ τούτων πάντων μιμήματα κεκωμῳδημένα,
and in the of-these all imitations comically-represented
ἀνάγκη μὲν θεάσασθαι καὶ γνωρίζειν· ἄνευ γὰρ γελοίων
necessity indeed to-view and to-know without for laughable-things
τὰ σπουδαῖα καὶ πάντων τῶν ἐναντίων τὰ ἐναντία μαθεῖν
the serious-things and of-all the opposites the opposites to-learn
μὲν οὐ δυνατόν, εἰ μέλλει τις φρόνιμος ἔσεσθαι, ποιεῖν δὲ
indeed not possible if is-to anyone prudent to-be to-do and
οὐκ αὖ δυνατὸν ἀμφότερα, εἴ τις αὖ μέλλει καὶ σμικρὸν
not again possible both if anyone again is-to even small
ἀρετῆς μεθέξειν, ἀλλὰ αὐτῶν ἕνεκα τούτων καὶ μανθάνειν
of-virtue to-partake but of-them for-the-sake of-these also to-learn
αὐτὰ δεῖ, τοῦ μή ποτε δι᾽ ἄγνοιαν δρᾶν ἢ λέγειν ὅσα
them one-must of-the not ever through ignorance to-do or to-say as-many-as
γελοῖα, μηδὲν δέον, δούλοις δὲ τὰ τοιαῦτα καὶ ξένοις
laughable nothing needful for-slaves and the such-things and for-foreigners
ἐμμίσθοις προστάττειν μιμεῖσθαι, σπουδὴν δὲ περὶ αὐτὰ
hired to-enjoin to-imitate earnestness and about them
εἶναι μηδέποτε μηδ᾽ ἡντινοῦν, μηδέ τινα μανθάνοντα αὐτὰ
to-be never nor any-whatever nor any learning them

γίγνεσθαι φανερὸν τῶν ἐλευθέρων, μήτε γυναῖκα μήτε ἄνδρα,
to-become visible of-the free neither woman nor man
καινὸν δὲ ἀεί τι περὶ αὐτὰ φαίνεσθαι τῶν μιμημάτων.
new and always something about them to-appear of-the imitations
817 ὅσα μὲν οὖν περὶ γέλωτά ἐστιν παίγνια, ἃ δὴ
as-many-as indeed then about laughter are amusements which indeed
κωμῳδίαν πάντες λέγομεν, οὕτως τῷ νόμῳ καὶ λόγῳ
comedy all we-call so by-the law and argument
κείσθω· τῶν δὲ σπουδαίων, ὥς φασι, τῶν περὶ τραγῳδίαν
let-them-lie of-the and serious as they-say of-the about tragedy
ἡμῖν ποιητῶν, ἐάν ποτέ τινες αὐτῶν ἡμᾶς ἐλθόντες
for-us poets if ever some of-them to-us having-come
ἐπανερωτήσωσιν οὑτωσί πως· "ὦ ξένοι, πότερον φοιτῶμεν
ask thus somehow O strangers whether shall-we-come
ὑμῖν εἰς τὴν πόλιν τε καὶ χώραν ἢ μή, καὶ τὴν ποίησιν
to-you into the city both and country or not and the poetry
φέρωμέν τε καὶ ἄγωμεν, ἢ πῶς ὑμῖν δέδοκται περὶ
shall-we-carry both and bring or how by-you has-it-been-resolved about
τὰ τοιαῦτα δρᾶν;" — τί οὖν ἂν πρὸς ταῦτα ὀρθῶς
the such-things to-do what then — to these-things rightly
ἀποκριναίμεθα τοῖς θείοις ἀνδράσιν; ἐμοὶ μὲν γὰρ δοκεῖ
would-we-answer the divine men to-me indeed for seems
τάδε· "ὦ ἄριστοι," φάναι, "τῶν ξένων, ἡμεῖς ἐσμὲν
this O best to-say of-the strangers we are
τραγῳδίας αὐτοὶ ποιηταὶ κατὰ δύναμιν ὅτι καλλίστης
of-tragedy ourselves poets according-to power as finest
ἅμα καὶ ἀρίστης· πᾶσα οὖν ἡμῖν ἡ πολιτεία συνέστηκε
at-once and best all then for-us the constitution is-composed
μίμησις τοῦ καλλίστου καὶ ἀρίστου βίου, ὃ δή φαμεν
imitation of-the finest and best life which indeed we-say
ἡμεῖς γε ὄντως εἶναι τραγῳδίαν τὴν ἀληθεστάτην. ποιηταὶ
we at-least really to-be tragedy the truest poets

μὲν οὖν ὑμεῖς, ποιηταὶ δὲ καὶ ἡμεῖς ἐσμὲν τῶν αὐτῶν, ὑμῖν
indeed then you poets and also we are of-the same-things to-you
ἀντίτεχνοί τε καὶ ἀνταγωνισταὶ τοῦ καλλίστου δράματος,
rival-artists both and rival-competitors of-the finest drama
ὃ δὴ νόμος ἀληθὴς μόνος ἀποτελεῖν πέφυκεν, ὡς ἡ
which indeed law true alone to-accomplish is-of-a-nature as the
παρ᾽ ἡμῶν ἐστιν ἐλπίς· μὴ δὴ δόξητε ἡμᾶς ῥᾳδίως γε
from us is hope not indeed think us easily at-least
οὕτως ὑμᾶς ποτε παρ᾽ ἡμῖν ἐάσειν σκηνάς τε πήξαντας
so you ever among us to-allow stages both having-fixed
κατ᾽ ἀγορὰν καὶ καλλιφώνους ὑποκριτὰς εἰσαγαγομένους,
in market-place and fine-voiced actors having-brought-in
μεῖζον φθεγγομένους ἡμῶν, ἐπιτρέψειν ὑμῖν δημηγορεῖν
louder speaking than-us to-permit you to-harangue
πρὸς παῖδάς τε καὶ γυναῖκας καὶ τὸν πάντα ὄχλον,
to children both and women and the whole crowd
τῶν αὐτῶν λέγοντας ἐπιτηδευμάτων πέρι μὴ τὰ αὐτὰ
of-the same-things saying practices about not the same-things
ἅπερ ἡμεῖς, ἀλλ᾽ ὡς τὸ πολὺ καὶ ἐναντία τὰ πλεῖστα.
which-very we but as the most-part also opposite the most-things
σχεδὸν γάρ τοι κἂν μαινοίμεθα τελέως ἡμεῖς τε καὶ ἅπασα d
nearly for surely even we-would-be-mad completely we both and all
ἡ πόλις, ἠτισοῦν ὑμῖν ἐπιτρέποι δρᾶν τὰ νῦν λεγόμενα,
the city whatever to-you should-permit to-do the-things now said
πρὶν κρῖναι τὰς ἀρχὰς εἴτε ῥητὰ καὶ ἐπιτήδεια πεποιήκατε
before to-judge the officials whether speakable and suitable you-have-made
λέγειν εἰς τὸ μέσον εἴτε μή. νῦν οὖν, ὦ παῖδες μαλακῶν
to-say into the middle or not now then O children of-soft
Μουσῶν ἔκγονοι, ἐπιδείξαντες τοῖς ἄρχουσι πρῶτον τὰς
Muses offspring having-shown to-the officials first the
ὑμετέρας παρὰ τὰς ἡμετέρας ᾠδάς, ἂν μὲν τὰ αὐτά γε
your beside the our songs if indeed the same at-least

ἢ καὶ βελτίω τὰ παρ᾽ ὑμῶν φαίνηται λεγόμενα, δώσομεν
or also better the-things from you appear said we-shall-give
ὑμῖν χορόν, εἰ δὲ μή, ὦ φίλοι, οὐκ ἄν ποτε δυναίμεθα."
you chorus if and not O friends not — ever we-could
e ταῦτ᾽ οὖν ἔστω περὶ πᾶσαν χορείαν καὶ μάθησιν τούτων
these-things then let-be about all dancing and learning of-these
πέρι συντεταγμένα νόμοις ἔθη, χωρὶς μὲν τὰ τῶν
about arranged by-laws customs apart indeed the-things of-the
δούλων, χωρὶς δὲ τὰ τῶν δεσποτῶν, εἰ συνδοκεῖ.
slaves apart and the-things of-the masters if it-seems-good-together
CLIN. πῶς δ᾽ οὐ συνδοκεῖ νῦν γε οὕτως;
how and not does-it-seem-good-together now at-least so

XI · NUMBER, MEASURE, AND THE STARS

Freemen learn three subjects: calculation, measurement, and astronomy, the many as far as necessity requires, the few precisely; even god cannot fight necessity. The Egyptians teach children arithmetic in play with apples and garlands. The Athenian confesses his shame at the Greeks' ignorance that lengths, surfaces, and solids can be incommensurable, which he learned late; such problems are a finer pastime for the old than checkers, and the subjects are set down provisionally. Turning to astronomy, he says there is a great wonder about the stars that is not to be borne.

818 ATH. ἔτι δὴ τοίνυν τοῖς ἐλευθέροις ἔστιν τρία μαθήματα,
still indeed then for-the free are three lessons
λογισμοὶ μὲν καὶ τὰ περὶ ἀριθμοὺς ἓν μάθημα, μετρητικὴ
calculations indeed and the-things about numbers one lesson measurement
δὲ μήκους καὶ ἐπιπέδου καὶ βάθους ὡς ἓν αὖ δεύτερον,
and of-length and of-surface and of-depth as one again second
τρίτον δὲ τῆς τῶν ἄστρων περιόδου πρὸς ἄλληλα
third and of-the of-the stars revolution in-relation-to one-another

ὡς πέφυκεν πορεύεσθαι. ταῦτα δὲ σύμπαντα οὐχ ὡς
how they-are-by-nature to-travel these-things and all not as
ἀκριβείας ἐχόμενα δεῖ διαπονεῖν τοὺς πολλοὺς ἀλλά
of-exactness holding one-must to-work-through the many but
τινας ὀλίγους — οὓς δέ, προϊόντες ἐπὶ τῷ τέλει φράσομεν·
some few whom and advancing at the end we-shall-declare
οὕτω γὰρ πρέπον ἂν εἴη — τῷ πλήθει δέ, ὅσα αὐτῶν
so for fitting — would-be for-the multitude and as-many-as of-them
ἀναγκαῖα καί πως ὀρθότατα λέγεται μὴ ἐπίστασθαι μὲν
necessary and somehow most-rightly is-said not to-know indeed
τοῖς πολλοῖς αἰσχρόν, δι' ἀκριβείας δὲ ζητεῖν πάντα οὔτε
for-the many shameful with exactness and to-seek all-things neither
ῥᾴδιον οὔτε τὸ παράπαν δυνατόν. τὸ δὲ ἀναγκαῖον αὐτῶν
easy nor the altogether possible the and necessary of-them
οὐχ οἷόν τε ἀποβάλλειν, ἀλλ' ἔοικεν ὁ τὸν θεὸν πρῶτον
not possible — to-cast-away but it-seems the-one the god first
παροιμιασάμενος εἰς ταῦτα ἀποβλέψας εἰπεῖν ὡς οὐδὲ
having-made-a-proverb to these-things having-looked to-have-said that not-even
θεὸς ἀνάγκῃ μή ποτε φανῇ μαχόμενος, ὅσαι θεῖαί γε,
god with-necessity not ever is-seen fighting as-many-as divine at-least
οἶμαι, τῶν γε ἀναγκῶν εἰσίν· ἐπεὶ τῶν γε ἀνθρωπίνων,
I-think of-the at-least necessities are since of-the at-least human
εἰς ἃς οἱ πολλοὶ βλέποντες λέγουσι τὸ τοιοῦτον, οὗτος
to which the many looking say the such this-one
πάντων τῶν λόγων εὐηθέστατός ἐστιν μακρῷ.
of-all the sayings most-simple is by-far

CLIN. τίνες οὖν, ὦ ξένε, αἱ μὴ τοιαῦται ἀνάγκαι τῶν
which then O stranger the not such necessities of-the
μαθημάτων, θεῖαι δέ;
lessons divine and

c ATH. δοκῶ μέν, ἃς μή τις πράξας μηδὲ αὖ μαθὼν
I-think indeed which not anyone having-done nor again having-learned
τὸ παράπαν οὐκ ἄν ποτε γένοιτο ἀνθρώποις θεὸς οὐδὲ
the altogether not — ever would-become for-men god nor
δαίμων οὐδὲ ἥρως οἷος δυνατὸς ἀνθρώπων ἐπιμέλειαν σὺν
daemon nor hero such-as able of-men care with
σπουδῇ ποιεῖσθαι· πολλοῦ δ' ἂν δεήσειεν ἄνθρωπός
earnestness to-make by-much and — he-would-fall-short man
γε θεῖος γενέσθαι μήτε ἓν μήτε δύο μήτε τρία μήθ' ὅλως
at-least divine to-become neither one nor two nor three nor at-all
ἄρτια καὶ περιττὰ δυνάμενος γιγνώσκειν, μηδὲ ἀριθμεῖν
even and odd able to-recognize nor to-count
τὸ παράπαν εἰδώς, μηδὲ νύκτα καὶ ἡμέραν διαριθμεῖσθαι
the altogether knowing nor night and day to-count-through
δυνατὸς ὤν, σελήνης δὲ καὶ ἡλίου καὶ τῶν ἄλλων ἄστρων
able being of-moon and and of-sun and of-the other stars
περιφορᾶς ἀπείρως ἔχων. ταῦτ' οὖν δὴ πάντα ὡς
revolution inexperienced being these-things then indeed all that
μὲν οὐκ ἀναγκαῖά ἐστι μαθήματα τῷ μέλλοντι σχεδὸν
indeed not necessary are lessons for-the about-to nearly
ὁτιοῦν τῶν καλλίστων μαθημάτων εἴσεσθαι, πολλὴ
anything-whatever of-the finest lessons to-know much
καὶ μωρία τοῦ διανοήματος· ποῖα δὲ ἕκαστα τούτων
and folly of-the thought of-what-sort and each of-these
καὶ πόσα καὶ πότε μαθητέον, καὶ τί μετὰ τίνος καὶ
and how-many and when must-be-learned and what with what and
τί χωρὶς τῶν ἄλλων, καὶ πᾶσαν τὴν τούτων κρᾶσιν,
what apart-from the others and all the of-these mixture
ταῦτά ἐστιν ἃ δεῖ λαβόντα ὀρθῶς πρῶτα, ἐπὶ
these-things are which one-must having-grasped rightly first to
τἆλλα ἰόντα τούτων ἡγουμένων τῶν μαθημάτων μανθάνειν.
the-rest going these leading the lessons to-learn

οὕτω γὰρ ἀνάγκη φύσει κατείληφεν, ᾗ φαμεν οὐδένα
so for necessity by-nature holds by-which we-say none
θεῶν οὔτε μάχεσθαι τὰ νῦν οὔτε μαχεῖσθαί ποτε.
of-gods neither to-fight the now nor to-be-going-to-fight ever
CLIN. ἔοικέν γε, ὦ ξένε, νῦν οὕτω πως ῥηθέντα ὀρθῶς
it-seems at-least O stranger now so somehow said rightly
εἰρῆσθαι καὶ κατὰ φύσιν ἃ λέγεις.
to-have-been-said and according-to nature which you-say
ATH. ἔχει μὲν γὰρ οὕτως, ὦ Κλεινία, χαλεπὸν δὲ αὐτὰ
it-is indeed for so O Clinias hard and them
προταξάμενον τούτῳ τῷ τρόπῳ νομοθετεῖν· ἀλλ' εἰς
having-set-beforehand in-this the way to-legislate but for
ἄλλον, εἰ δοκεῖ, χρόνον ἀκριβέστερον ἂν νομοθετησαίμεθα.
another if it-seems time more-exactly — we-might-legislate
CLIN. δοκεῖς ἡμῖν, ὦ ξένε, φοβεῖσθαι τὸ τῆς ἡμετέρας περὶ
you-seem to-us O stranger to-fear the of-the our about
τῶν τοιούτων ἀπειρίας ἔθος. οὔκουν ὀρθῶς φοβῇ· πειρῶ
the such-things inexperience custom not-then rightly you-fear try
δὴ λέγειν μηδὲν ἀποκρυπτόμενος ἕνεκα τούτων.
indeed to-speak nothing concealing for-the-sake of-these
ATH. φοβοῦμαι μὲν καὶ ταῦτα ἃ σὺ νῦν λέγεις, μᾶλλον 819
I-fear indeed also these-things which you now say more
δ' ἔτι δέδοικα τοὺς ἡμμένους μὲν αὐτῶν τούτων τῶν
and still I-dread the having-touched indeed them these the
μαθημάτων, κακῶς δ' ἡμμένους. οὐδαμοῦ γὰρ δεινὸν
lessons badly and having-touched nowhere for terrible
οὐδὲ σφοδρὸν ἀπειρία τῶν πάντων οὐδὲ μέγιστον κακόν,
nor vehement inexperience of-the all-things nor greatest evil
ἀλλ' ἡ πολυπειρία καὶ πολυμαθία μετὰ κακῆς ἀγωγῆς
but the much-experience and much-learning with bad guidance
γίγνεται πολὺ τούτων μείζων ζημία.
becomes much than-these greater penalty

CLIN. ἀληθῆ λέγεις.
true-things you-say

b ATH. τοσάδε τοίνυν ἑκάστων χρὴ φάναι μανθάνειν δεῖν
so-many then of-each one-must to-say to-learn to-be-necessary
τοὺς ἐλευθέρους, ὅσα καὶ πάμπολυς ἐν Αἰγύπτῳ παίδων
the free as-many-as also very-great in Egypt of-children
ὄχλος ἅμα γράμμασι μανθάνει. πρῶτον μὲν γὰρ περὶ
crowd at-once with-letters learns first indeed for about
λογισμοὺς ἀτεχνῶς παισὶν ἐξηυρημένα μαθήματα μετὰ
calculations simply for-children invented lessons with
παιδιᾶς τε καὶ ἡδονῆς μανθάνειν, μήλων τέ τινων διανομαὶ
play both and pleasure to-learn of-apples both some distributions
καὶ στεφάνων πλείοσιν ἅμα καὶ ἐλάττοσιν ἁρμοττόντων
and of-garlands to-more at-once and to-fewer fitting
ἀριθμῶν τῶν αὐτῶν, καὶ πυκτῶν καὶ παλαιστῶν ἐφεδρείας
numbers of-the same and of-boxers and of-wrestlers byes
τε καὶ συλλήξεως ἐν μέρει καὶ ἐφεξῆς καὶ ὡς πεφύκασι
both and pairings in turn and in-succession and as they-are-by-nature
γίγνεσθαι. καὶ δὴ καὶ παίζοντες, φιάλας ἅμα χρυσοῦ
to-come-about and indeed also playing bowls at-once of-gold
καὶ χαλκοῦ καὶ ἀργύρου καὶ τοιούτων τινῶν ἄλλων
and of-bronze and of-silver and such some others
κεραννύντες, οἱ δὲ καὶ ὅλας πως διαδιδόντες, ὅπερ
mixing the(-others) and also wholes somehow distributing which-very
εἶπον, εἰς παιδιὰν ἐναρμόττοντες τὰς τῶν ἀναγκαίων
I-said into play fitting the of-the necessary
ἀριθμῶν χρήσεις, ὠφελοῦσι τοὺς μανθάνοντας εἴς τε τὰς
numbers uses they-benefit the learning for both the
τῶν στρατοπέδων τάξεις καὶ ἀγωγὰς καὶ στρατείας
of-the armies arrangements and marches and campaigns
καὶ εἰς οἰκονομίας αὖ, καὶ πάντως χρησιμωτέρους
and for household-managements again and altogether more-useful

αὐτοὺς αὑτοῖς καὶ ἐγρηγορότας μᾶλλον τοὺς ἀνθρώπους
them to-themselves and awake more the men
ἀπεργάζονται· μετὰ δὲ ταῦτα ἐν ταῖς μετρήσεσιν, ὅσα
they-render after and these-things in the measurements as-many-as
ἔχει μήκη καὶ πλάτη καὶ βάθη, περὶ ἅπαντα ταῦτα
have lengths and breadths and depths about all these-things
ἐνοῦσάν τινα φύσει γελοίαν τε καὶ αἰσχρὰν ἄγνοιαν ἐν
being-in some by-nature laughable both and shameful ignorance in
τοῖς ἀνθρώποις πᾶσιν, ταύτης ἀπαλλάττουσιν.
the men all from-this they-release
CLIN. ποίαν δὴ καὶ τίνα λέγεις ταύτην;
what-sort indeed and what do-you-mean this
ATH. ὦ φίλε Κλεινία, παντάπασί γε μὴν καὶ αὐτὸς e
O friend Clinias altogether at-least indeed also myself
ἀκούσας ὀψέ ποτε τὸ περὶ ταῦτα ἡμῶν πάθος ἐθαύμασα,
having-heard late ever the about these-things of-us condition wondered
καὶ ἔδοξέ μοι τοῦτο οὐκ ἀνθρώπινον ἀλλὰ ὑηνῶν
and it-seemed to-me this not human but of-swine
τινων εἶναι μᾶλλον θρεμμάτων, ᾐσχύνθην τε οὐχ ὑπὲρ
some to-be rather of-creatures I-was-ashamed both not on-behalf-of
ἐμαυτοῦ μόνον, ἀλλὰ καὶ ὑπὲρ ἁπάντων τῶν Ἑλλήνων.
myself only but also on-behalf-of all the Greeks
CLIN. τοῦ πέρι; λέγ᾽ ὅτι καὶ φῂς, ὦ ξένε.
of-what about speak what also you-say O stranger
ATH. λέγω δή· μᾶλλον δὲ ἐρωτῶν σοι δείξω. καί μοι
I-speak indeed rather and asking to-you I-shall-show and to-me
σμικρὸν ἀπόκριναι· γιγνώσκεις που μῆκος;
a-little answer you-know surely length
CLIN. τί μήν;
what indeed
ATH. τί δέ; πλάτος;
what and breadth

CLIN. πάντως.
altogether

ATH. ἦ καὶ ταῦτα ὅτι δύ' ἐστόν, καὶ τρίτον τούτων
truly also these-things that two are and third of-these
βάθος;
depth

CLIN. πῶς γὰρ οὔ;
how for not

ATH. ἆρ' οὖν οὐ δοκεῖ σοι ταῦτα εἶναι πάντα μετρητὰ
so then not seem to-you these-things to-be all measurable
πρὸς ἄλληλα;
in-relation-to one-another

CLIN. ναί.
yes

820 ATH. μῆκός τε οἶμαι πρὸς μῆκος, καὶ πλάτος πρὸς πλάτος,
length both I-think against length and breadth against breadth
καὶ βάθος ὡσαύτως δυνατὸν εἶναι μετρεῖν φύσει.
and depth likewise possible to-be to-measure by-nature

CLIN. σφόδρα γε.
very at-least

ATH. εἰ δ' ἔστι μήτε σφόδρα μήτε ἠρέμα δυνατὰ ἔνια,
if and it-is neither very nor slightly possible some
ἀλλὰ τὰ μέν, τὰ δὲ μή, σὺ δὲ πάντα ἡγῇ, πῶς
but the(-ones) indeed the(-others) and not you and all consider how
οἴει πρὸς ταῦτα διακεῖσθαι;
do-you-think toward these-things to-be-disposed

CLIN. δῆλον ὅτι φαύλως.
clear that badly

ATH. τί δ' αὖ μῆκός τε καὶ πλάτος πρὸς βάθος, ἢ
what and again length both and breadth against depth or
πλάτος τε καὶ μῆκος πρὸς ἄλληλα; ἆρ' οὐ διανοούμεθα
breadth both and length in-relation-to one-another then not do-we-think

περὶ ταῦτα οὕτως Ἕλληνες πάντες, ὡς δυνατά ἐστι
about these-things so Greeks all that possible are
μετρεῖσθαι πρὸς ἄλληλα ἁμῶς γέ πως;
to-be-measured in-relation-to one-another somehow at-least in-some-way
CLIN. παντάπασι μὲν οὖν. b
altogether indeed then
ATH. εἰ δ' ἔστιν αὖ μηδαμῶς μηδαμῇ δυνατά, πάντες δ',
if and it-is again in-no-way in-no-way possible all and
ὅπερ εἶπον, Ἕλληνες διανοούμεθα ὡς δυνατά, μῶν οὐκ
which-very I-said Greeks think that possible surely-not not
ἄξιον ὑπὲρ πάντων αἰσχυνθέντα εἰπεῖν πρὸς αὐτούς·
worthy on-behalf-of all having-been-ashamed to-say to them
ὦ βέλτιστοι τῶν Ἑλλήνων, ἓν ἐκείνων τοῦτ' ἐστὶν ὧν
O best of-the Greeks one of-those this is of-which
ἔφαμεν αἰσχρὸν μὲν γεγονέναι τὸ μὴ ἐπίστασθαι, τὸ δ'
we-said shameful indeed to-have-become the not to-know the and
ἐπίστασθαι τἀναγκαῖα οὐδὲν πάνυ καλόν;
to-know the-necessary-things nothing at-all fine
CLIN. πῶς δ' οὔ;
how and not
ATH. καὶ πρὸς τούτοις γε ἄλλα ἔστιν τούτων συγγενῆ, c
and besides these at-least other-things are to-these akin
ἐν οἷς αὖ πολλὰ ἁμαρτήματα ἐκείνων ἀδελφὰ ἡμῖν
in which again many errors of-those kindred for-us
ἐγγίγνεται τῶν ἁμαρτημάτων.
arise of-the errors
CLIN. ποῖα δή;
what-sort indeed
ATH. τὰ τῶν μετρητῶν τε καὶ ἀμέτρων πρὸς
the-things of-the measurable both and immeasurable in-relation-to
ἄλληλα ἧτινι φύσει γέγονεν. ταῦτα γὰρ δὴ
one-another by-whatever nature they-have-come-about these-things for indeed

σκοποῦντα διαγιγνώσκειν ἀναγκαῖον ἢ παντάπασιν εἶναι
examining to-distinguish necessary or altogether to-be
φαῦλον, προβάλλοντά τε ἀλλήλοις ἀεί, διατριβὴν τῆς
poor proposing both to-one-another always pastime than-the
πεττείας πολὺ χαριεστέραν πρεσβυτῶν διατρίβοντα,
checkers much more-graceful for-old-men passing-time
φιλονικεῖν ἐν ταῖς τούτων ἀξίαισι σχολαῖς.
to-compete in the of-these worthy leisures

d CLIN. ἴσως· ἔοικεν γοῦν ἥ τε πεττεία καὶ ταῦτα
perhaps it-seems at-any-rate the both checkers and these
ἀλλήλων τὰ μαθήματα οὐ πάμπολυ κεχωρίσθαι.
from-one-another the lessons not very-much to-be-separated

ATH. ταῦτα τοίνυν ἐγὼ μέν, ὦ Κλεινία, φημὶ τοὺς νέους
these-things then I indeed O Clinias say the young
δεῖν μανθάνειν· καὶ γὰρ οὔτε βλαβερὰ οὔτε χαλεπά
to-be-necessary to-learn and for neither harmful nor hard
ἐστιν, μετὰ δὲ παιδιᾶς ἅμα μανθανόμενα ὠφελήσει μέν,
are with and play at-once being-learned will-benefit indeed
βλάψει δὲ ἡμῖν τὴν πόλιν οὐδέν. εἰ δέ τις ἄλλως λέγει,
will-harm and for-us the city nothing if and anyone otherwise says
ἀκουστέον.
he-must-be-heard

CLIN. πῶς δ' οὔ;
how and not

ATH. ἀλλὰ μὴν ἂν οὕτω ταῦτα ἔχοντα φαίνηται, δῆλον
but indeed if so these-things being appear clear
ὡς ἐγκρινοῦμεν αὐτά, μὴ ταύτῃ δὲ φαινόμενα ἔχειν
that we-shall-admit them not in-this-way and appearing to-be
ἀποκριθήσεται.
they-will-be-rejected

e CLIN. δῆλον· τί μήν;
clear what indeed

ATH. οὐκοῦν νῦν, ὦ ξένε, κείσθω ταῦτα ὡς ὄντα τῶν
therefore now O stranger let-them-lie these-things as being of-the
δεόντων μαθημάτων, ἵνα μὴ διάκενα ἡμῖν ᾖ τὰ τῶν
needful lessons so-that not empty for-us be the-things of-the
νόμων; κείσθω μέντοι καθάπερ ἐνέχυρα λύσιμα ἐκ τῆς
laws let-them-lie however as pledges redeemable from the
ἄλλης πολιτείας, ἐὰν ἢ τοὺς θέντας ἡμᾶς ἢ καὶ τοὺς
other constitution if either the having-set us or also the
θεμένους ὑμᾶς μηδαμῶς φιλοφρονῆται.
having-set-for-themselves you in-no-way please
CLIN. δικαίαν λέγεις τὴν θέσιν.
just you-call the setting
ATH. ἄστρων δὴ τὸ μετὰ ταῦτα ὅρα τὴν μάθησιν τοῖς
of-stars indeed the after these-things see the learning for-the
νέοις, ἂν ἡμᾶς ἀρέσκῃ λεχθεῖσα ἢ καὶ τοὐναντίον.
young if us it-please having-been-spoken or also the-opposite
CLIN. λέγε μόνον.
speak only
ATH. καὶ μὴν θαῦμά γε περὶ αὐτά ἐστιν μέγα καὶ
and indeed wonder at-least about them is great and
οὐδαμῶς οὐδαμῇ ἀνεκτόν.
in-no-way in-no-way bearable

It is wrong to hold that one must not inquire into the greatest god and the heavens. The Greeks call the sun, moon, and planets wanderers, which is a slander, since each always travels the same single path. Hunting is regulated by praise as well as law: the lawgiver wishes the young no love of fishing, fowling, or night hunting with nets, and praises the hunt of four-footed beasts with horses, dogs, and their own bodies. The law lets no one hinder these sacred hunters, forbids night netting everywhere, and allows fowling on waste land and fishing outside harbors and sacred waters, without poison.

821 CLIN. τὸ ποῖον δή;
the what-sort indeed

ATH. τὸν μέγιστον θεὸν καὶ ὅλον τὸν κόσμον φαμὲν
the greatest god and whole the universe we-say
οὔτε ζητεῖν δεῖν οὔτε πολυπραγμονεῖν τὰς αἰτίας
neither to-seek to-be-necessary nor to-be-busy-about the causes
ἐρευνῶντας — οὐ γὰρ οὐδ' ὅσιον εἶναι — τὸ δὲ ἔοικεν
searching-out not for not-even holy to-be the and it-seems
πᾶν τούτου τοὐναντίον γιγνόμενον ὀρθῶς ἂν γίγνεσθαι.
all of-this the-opposite happening rightly — to-come-about

CLIN. πῶς εἶπες;
how did-you-say

b ATH. παράδοξον μὲν τὸ λεγόμενον, καὶ οὐκ ἂν πρεσβύταις
paradoxical indeed the said and not — for-old-men
τις οἰηθείη πρέπειν· τὸ δὲ ἐπειδάν τίς τι καλόν τε
anyone would-think to-befit the and whenever anyone some fine both
οἰηθῇ καὶ ἀληθὲς μάθημα εἶναι καὶ πόλει συμφέρον καὶ
should-think and true lesson to-be and for-city advantageous and
τῷ θεῷ παντάπασι φίλον, οὐδενὶ δὴ τρόπῳ δυνατόν
to-the god altogether dear in-no indeed way possible
ἐστιν ἔτι μὴ φράζειν.
is still not to-declare

CLIN. εἰκότα λέγεις· ἀλλ᾽ ἄστρων πέρι μάθημα τί τοιοῦτον
likely-things you-say but of-stars about lesson what such
ἀνευρήσομεν;
shall-we-find

ATH. ὦ ἀγαθοί, καταψευδόμεθα νῦν ὡς ἔπος εἰπεῖν Ἕλληνες
O good-men we-tell-lies-about now so a-word to-say Greeks
πάντες μεγάλων θεῶν, Ἡλίου τε ἅμα καὶ Σελήνης.
all of-great gods of-Sun both at-once and of-Moon

CLIN. τὸ ποῖον δὴ ψεῦδος;
the what-sort indeed lie

ATH. φαμὲν αὐτὰ οὐδέποτε τὴν αὐτὴν ὁδὸν ἰέναι, καὶ ἄλλ᾽
we-say them never the same road to-go and other
ἄττα ἄστρα μετὰ τούτων, ἐπονομάζοντες πλανητὰ αὐτά.
some stars with these naming wanderers them

CLIN. νὴ τὸν Δία, ὦ ξένε, ἀληθὲς τοῦτο λέγεις· ἐν γὰρ δὴ τῷ c
by the Zeus O stranger true this you-say in for indeed the
βίῳ πολλάκις ἑώρακα καὶ αὐτὸς τόν τε Ἑωσφόρον καὶ τὸν
life often I-have-seen also myself the both Morning-Star and the
Ἕσπερον καὶ ἄλλους τινὰς οὐδέποτε ἰόντας εἰς τὸν αὐτὸν
Evening-Star and others some never going into the same
δρόμον ἀλλὰ πάντῃ πλανωμένους, τὸν δὲ ἥλιόν που καὶ
course but everywhere wandering the and sun surely and
σελήνην δρῶντας ταῦθ᾽ ἃ ἀεὶ πάντες συνεπιστάμεθα.
moon doing these-things which always all we-know-together

ATH. ταῦτ᾽ ἔστι τοίνυν, ὦ Μέγιλλέ τε καὶ Κλεινία, νῦν d
these-things are then O Megillus both and Clinias now
ἃ δή φημι δεῖν περὶ θεῶν τῶν κατ᾽ οὐρανὸν
which indeed I-say to-be-necessary about gods of-the in heaven
τούς γε ἡμετέρους πολίτας τε καὶ τοὺς νέους τὸ μέχρι
the at-least our citizens both and the young the up-to
τοσούτου μαθεῖν περὶ ἁπάντων τούτων, μέχρι τοῦ μὴ
so-far to-learn about all these up-to the not

βλασφημεῖν περὶ αὐτά, εὐφημεῖν δὲ ἀεὶ θύοντάς τε
to-blaspheme about them to-speak-auspiciously and always sacrificing both
καὶ ἐν εὐχαῖς εὐχομένους εὐσεβῶς.
and in prayers praying piously

CLIN. τοῦτο μὲν ὀρθόν, εἴ γε πρῶτον μὲν δυνατόν ἐστιν
this indeed right if at-least first indeed possible it-is
ὃ λέγεις μαθεῖν· εἶτα, εἰ μὴ λέγομέν τι περὶ αὐτῶν
which you-say to-learn then if not we-say anything about them
ὀρθῶς νῦν, μαθόντες δὲ λέξομεν, συγχωρῶ κἀγὼ τό γε
rightly now having-learned and we-shall-say I-concede I-too the at-least
τοσοῦτον καὶ τοιοῦτον ὂν μαθητέον εἶναι. ταῦτ' οὖν
so-much and such being must-be-learned to-be these-things then
ὡς ἔχοντά ἐσθ' οὕτω, πειρῶ σὺ μὲν ἐξηγεῖσθαι πάντως,
as being are so try you indeed to-explain altogether
ἡμεῖς δὲ συνέπεσθαί σοι μανθάνοντες.
we and to-follow you learning

e ATH. ἀλλ' ἔστι μὲν οὐ ῥᾴδιον ὃ λέγω μαθεῖν, οὐδ' αὖ
but it-is indeed not easy which I-say to-learn nor again
παντάπασι χαλεπόν, οὐδέ γέ τινος χρόνου παμπόλλου.
altogether hard nor at-least of-some time very-long
τεκμήριον δέ· ἐγὼ τούτων οὔτε νέος οὔτε πάλαι ἀκηκοὼς
evidence and I of-these neither young nor long-ago having-heard
σφῷν ἂν νῦν οὐκ ἐν πολλῷ χρόνῳ δηλῶσαι δυναίμην.
to-you-two — now not in long time to-make-clear could
καίτοι χαλεπά γε ὄντα οὐκ ἄν ποτε οἷός τ' ἦν
and-yet hard at-least being not — ever able — was
δηλοῦν τηλικούτοις οὖσι τηλικοῦτος.
to-make-clear to-such-aged being such-aged

822 CLIN. ἀληθῆ λέγεις. ἀλλὰ τί καὶ φῂς τοῦτο τὸ μάθημα
true-things you-say but what also do-you-say this the lesson
ὃ θαυμαστὸν μὲν λέγεις, προσῆκον δ' αὖ μαθεῖν τοῖς
which wonderful indeed you-say fitting and again to-learn for-the

νέοις, οὐ γιγνώσκειν δὲ ἡμᾶς; πειρῶ περὶ αὐτοῦ τό γε
young not to-know and us try about it the at-least
τοσοῦτον φράζειν ὡς σαφέστατα.
so-much to-declare as most-clearly

ΑΤΗ. πειρατέον. οὐ γάρ ἐστι τοῦτο, ὦ ἄριστοι, τὸ δόγμα b
one-must-try not for is this O best the doctrine
ὀρθὸν περὶ σελήνης τε καὶ ἡλίου καὶ τῶν ἄλλων ἄστρων,
right about moon both and sun and of-the other stars
ὡς ἄρα πλανᾶταί ποτε, πᾶν δὲ τοὐναντίον ἔχει τούτου —
that then they-wander ever all and the-opposite holds of-this
τὴν αὐτὴν γὰρ αὐτῶν ὁδὸν ἕκαστον καὶ οὐ πολλὰς
the same for of-them road each and not many
ἀλλὰ μίαν ἀεὶ κύκλῳ διεξέρχεται, φαίνεται δὲ πολλὰς
but one always in-a-circle goes-through appears and many
φερόμενον — τὸ δὲ τάχιστον αὐτῶν ὂν βραδύτατον οὐκ
being-carried the and swiftest of-them being slowest not
ὀρθῶς αὖ δοξάζεται, τὸ δ' ἐναντίον ἐναντίως. ταῦτ' οὖν
rightly again is-opined the and opposite oppositely these-things then
εἰ πέφυκεν μὲν οὕτως, ἡμεῖς δὲ μὴ ταύτῃ δόξομεν, εἰ
if are-by-nature indeed so we and not in-this-way shall-think if
μὲν ἐν Ὀλυμπίᾳ θεόντων ἵππων οὕτως ἢ δολιχοδρόμων
indeed in Olympia of-running horses so or of-long-distance-running
ἀνδρῶν διενοούμεθα πέρι, καὶ προσηγορεύομεν τὸν τάχιστον
men we-thought about and we-called the swiftest
μὲν ὡς βραδύτατον, τὸν δὲ βραδύτατον ὡς τάχιστον,
indeed as slowest the and slowest as swiftest
ἐγκώμιά τε ποιοῦντες ᾄδομεν τὸν ἡττώμενον νενικηκότα,
encomia both making we-sang the defeated having-won
οὔτε ὀρθῶς ἂν οὔτ' οἶμαι προσφιλῶς τοῖς δρομεῦσιν ἡμᾶς
neither rightly — nor I-think agreeably to-the runners us
ἂν τὰ ἐγκώμια προσάπτειν ἀνθρώποις οὖσιν· νῦν δὲ δὴ
— the encomia to-attach to-men being now and indeed

περὶ θεοὺς τὰ αὐτὰ ταῦτα ἐξαμαρτανόντων ἡμῶν, ἆρ'
about gods the same these-things erring of-us then
οὐκ οἰόμεθα ὃ γελοῖόν τε καὶ οὐκ ὀρθὸν ἐκεῖ γιγνόμενον
not we-think which laughable both and not right there happening
ἦν ἂν τότε, νῦν ἐνταυθοῖ καὶ ἐν τούτοισι γίγνεσθαι
would-be — then now here also in these to-come-about
γελοῖον μὲν οὐδαμῶς, οὐ μὴν οὐδὲ θεοφιλές γε, ψευδῆ
laughable indeed in-no-way not indeed nor god-beloved at-least false
φήμην ἡμῶν κατὰ θεῶν ὑμνούντων.
report of-us against gods hymning

CLIN. ἀληθέστατα, εἴπερ γε οὕτω ταῦτ' ἐστίν.
most-truly if-indeed at-least so these-things are

ATH. οὐκοῦν ἂν μὲν δείξωμεν οὕτω ταῦτ' ἔχοντα,
therefore if indeed we-show so these-things being
μαθητέα μέχρι γε τούτου τὰ τοιαῦτα πάντα, μὴ
must-be-learned up-to at-least this the such-things all not
δειχθέντων δὲ ἑατέον; καὶ ταῦτα ἡμῖν οὕτω συγκείσθω;
having-been-shown and must-be-let-be and these-things for-us so let-be-agreed

d CLIN. πάνυ μὲν οὖν.
certainly indeed then

e ATH. ἤδη τοίνυν χρὴ φάναι τέλος ἔχειν τά γε παιδείας
already then one-must to-say end to-have the at-least of-education
μαθημάτων πέρι νόμιμα· περὶ δὲ θήρας ὡσαύτως διανοηθῆναι
of-lessons about customs about and hunting likewise to-think
χρὴ καὶ περὶ ἁπάντων ὁπόσα τοιαῦτα. κινδυνεύει γὰρ
one-must and about all as-many-as such it-is-likely for
δὴ νομοθέτῃ τὸ προσταττόμενον ἐπὶ μεῖζον εἶναι τοῦ
indeed for-lawgiver the enjoined to greater to-be than-the
νόμους θέντα ἀπηλλάχθαι, ἕτερον δέ τι πρὸς τοῖς
laws having-set to-have-been-released other and something besides the
νόμοις εἶναι μεταξύ τι νουθετήσεώς τε πεφυκὸς ἅμα
laws to-be between something of-admonition both being-by-nature at-once

καὶ νόμων, ὃ δὴ πολλάκις ἡμῶν ἐμπέπτωκεν τοῖς
and of-laws which indeed often for-us has-fallen-in the
λόγοις, οἷον περὶ τὴν τῶν σφόδρα νέων παίδων τροφήν·
arguments as about the of-the very young children nurture
οὐ γὰρ ἄρρητά φαμεν εἶναι, λέγοντές τε αὐτά, ὡς νόμους
not for unspoken we-say to-be saying both them as laws
οἴεσθαι τιθεμένους εἶναι πολλῆς ἀνοίας γέμειν. γεγραμμένων
to-think setting to-be of-much folly to-be-full having-been-written
δὴ ταύτῃ τῶν νόμων τε καὶ ὅλης τῆς πολιτείας, οὐ
indeed in-this-way the laws both and whole the constitution not
τέλεος ὁ τοῦ διαφέροντος πολίτου πρὸς ἀρετὴν γίγνεται
complete the of-the excelling citizen toward virtue becomes
ἔπαινος, ὅταν αὐτόν τις φῇ τὸν ὑπηρετήσαντα τοῖς νόμοις
praise whenever him anyone says the having-served the laws
ἄριστα καὶ πειθόμενον μάλιστα, τοῦτον εἶναι τὸν ἀγαθόν·
best and obeying most this-one to-be the good
τελεώτερον δὲ ὧδε εἰρημένον, ὡς ἄρα ὃς ἂν τοῖς τοῦ 823
more-complete and thus said that then whoever — the of-the
νομοθέτου νομοθετοῦντός τε καὶ ἐπαινοῦντος καὶ ψέγοντος
lawgiver legislating both and praising and blaming
πειθόμενος γράμμασιν διεξέλθῃ τὸν βίον ἄκρατον. οὗτος ὅ
obeying writings goes-through the life unmixed this-one the
τε λόγος ὀρθότατος εἰς ἔπαινον πολίτου, τόν τε νομοθέτην
both saying most-right for praise of-citizen the both lawgiver
ὄντως δεῖ μὴ μόνον γράφειν τοὺς νόμους, πρὸς δὲ
really one-must not only to-write the laws besides and
τοῖς νόμοις, ὅσα καλὰ αὐτῷ δοκεῖ καὶ μὴ καλὰ εἶναι,
the laws as-many-as fine to-him seem and not fine to-be
νόμοις ἐμπεπλεγμένα γράφειν, τὸν δὲ ἄκρον πολίτην μηδὲν
with-laws interwoven to-write the and highest citizen nothing
ἧττον ταῦτα ἐμπεδοῦν ἢ τὰ ταῖς ζημίαις ὑπὸ νόμων
less these-things to-confirm than the-things by-the penalties by laws

κατειλημμένα. τὸ δὲ δὴ παρὸν ἡμῖν τὰ νῦν εἰ οἷον μάρτυρα
held the and indeed present for-us the now if as witness
ἐπαγόμεθα, δηλοῖμεν ἂν ὃ βουλόμεθα μᾶλλον. θήρα
we-bring-in we-might-make-clear — what we-wish more hunting
γὰρ πάμπολύ τι πρᾶγμά ἐστι, περιειλημμένον ὀνόματι νῦν
for very-large some affair is encompassed by-name now
σχεδὸν ἑνί. πολλὴ μὲν γὰρ ἡ τῶν ἐνύδρων, πολλὴ δὲ ἡ
nearly one much indeed for the of-the water-creatures much and the
τῶν πτηνῶν, πάμπολυ δὲ καὶ τὸ περὶ τὰ πεζὰ θηρεύματα,
of-the winged very-much and also the about the land quarries
οὐ μόνον θηρίων, ἀλλὰ καὶ τὴν τῶν ἀνθρώπων ἀξίαν ἐννοεῖν
not only of-beasts but also the of-the men worthy to-consider
θήραν, τήν τε κατὰ πόλεμον, πολλὴ δὲ καὶ ἡ κατὰ φιλίαν
hunting the both in war much and also the by friendship
θηρεύουσα, ἡ μὲν ἔπαινον, ἡ δὲ ψόγον ἔχει· καὶ
hunting the(-one) indeed praise the(-other) and blame has and
κλωπεῖαι καὶ ληστῶν καὶ στρατοπέδων στρατοπέδοις θῆραι.
thefts and of-robbers and of-armies against-armies huntings
d θήρας δὲ πέρι τιθέντι τῷ νομοθέτῃ τοὺς νόμους οὔτε μὴ
of-hunting and about setting for-the lawgiver the laws neither not
δηλοῦν ταῦθ' οἷόν τε, οὔτε ἐπὶ πᾶσιν τάξεις καὶ ζημίας
to-make-clear these-things possible — nor on all orders and penalties
ἐπιτιθέντα ἀπειλητικὰ νόμιμα τιθέναι. τί δὴ δραστέον περὶ
putting threatening customs to-set what indeed must-be-done about
τὰ τοιαῦτα; τὸν μέν, τὸν νομοθέτην, ἐπαινέσαι καὶ ψέξαι
the such-things the indeed the lawgiver to-praise and to-blame
χρεὼν τὰ περὶ θήρας πρὸς τοὺς τῶν νέων πόνους τε καὶ
it-is-needful the-things about hunting for the of-the young toils both and
ἐπιτηδεύματα, τὸν δ' αὖ νέον ἀκούσαντα πείθεσθαι, καὶ μήθ'
practices the and again young having-heard to-obey and neither
ἡδονὴν μήτε πόνον ἐξείργειν αὐτόν, τῶν δὲ περὶ ἕκαστα
pleasure nor toil to-keep-out him than-the and about each

ἀπειληθέντων μετὰ ζημίας καὶ νομοθετηθέντων, τὰ μετ'
threatened with penalty and legislated the-things with
ἐπαίνου ῥηθέντα μᾶλλον τιμᾶν καὶ προσταχθέντα ἀποτελεῖν.
praise spoken more to-honor and enjoined to-accomplish
τούτων δὴ προρρηθέντων, ἑξῆς ἂν γίγνοιτο e
these indeed having-been-said-beforehand next — would-come-about
ἔμμετρος ἔπαινος θήρας καὶ ψόγος, ἥτις μὲν βελτίους
measured praise of-hunting and blame which indeed better
ἀποτελεῖ τὰς ψυχὰς τῶν νέων ἐπαινοῦντος, ψέγοντος
renders the souls of-the young praising blaming
δὲ ἣ τἀναντία. λέγωμεν τοίνυν τὸ μετὰ τοῦτο ἑξῆς
and which the-opposite let-us-say then the after this next
προσαγορεύοντες δι' εὐχῆς τοὺς νέους· ὦ φίλοι, εἴθ'
addressing through prayer the young O friends would-that
ὑμᾶς μήτε τις ἐπιθυμία μήτ' ἔρως τῆς περὶ θάλατταν
you neither some desire nor love of-the about sea
θήρας ποτὲ λάβοι μηδὲ ἀγκιστρείας μηδ' ὅλως τῆς τῶν
hunting ever should-seize nor of-angling nor at-all of-the of-the
ἐνύδρων ζῴων, μήτε ἐγρηγορόσιν μήτε εὕδουσιν κύρτοις
water animals neither waking nor sleeping with-weels
ἀργὸν θήραν διαπονουμένοις.
idle hunting toiling-at
μηδ' αὖ ἄγρας ἀνθρώπων κατὰ θάλατταν ληστείας 824
nor again of-catching of-men at sea of-piracy
τε ἵμερος ἐπελθὼν ὑμῖν θηρευτὰς ὠμοὺς καὶ ἀνόμους
both longing having-come-upon you hunters savage and lawless
ἀποτελοῖ· κλωπείας δ' ἐν χώρᾳ καὶ πόλει μηδὲ εἰς
should-render of-thieving and in country and city not-even into
τὸν ἔσχατον ἐπέλθοι νοῦν ἅψασθαι. μηδ' αὖ πτηνῶν
the last may-it-come-upon mind to-touch nor again of-winged
θήρας αἱμύλος ἔρως οὐ σφόδρα ἐλευθέριος ἐπέλθοι τινὶ
hunting wily love not very free may-it-come-upon any

νέων. πεζῶν δὴ μόνον θήρευσίς τε καὶ ἄγρα λοιπὴ
of-the-young of-land-animals indeed only hunting both and catching remains
τοῖς παρ᾽ ἡμῖν ἀθληταῖς, ὧν ἡ μὲν τῶν εὐδόντων
for-the among us athletes of-which the(-one) indeed of-the sleeping
αὖ κατὰ μέρη, νυκτερεία κληθεῖσα, ἀργῶν ἀνδρῶν, οὐκ
again by turns night-hunting called of-idle men not
ἀξία ἐπαίνου, οὐδ᾽ ἧττον διαπαύματα πόνων ἔχουσα,
worthy of-praise nor less respites from-toils having
ἄρκυσίν τε καὶ πάγαις ἀλλ᾽ οὐ φιλοπόνου ψυχῆς νίκῃ
with-nets both and snares but not of-toil-loving soul by-victory
χειρουμένων τὴν ἄγριον τῶν θηρίων ῥώμην· μόνη δὴ
subduing the wild of-the beasts strength alone indeed
πᾶσιν λοιπὴ καὶ ἀρίστη ἡ τῶν τετραπόδων ἵπποις καὶ
for-all remains and best the of-the four-footed with-horses and
κυσὶν καὶ τοῖς ἑαυτῶν θήρα σώμασιν, ὧν ἁπάντων
with-dogs and with-the of-themselves hunting bodies of-which all
κρατοῦσιν δρόμοις καὶ πληγαῖς καὶ βολαῖς αὐτόχειρες
they-master with-runnings and with-blows and with-shots by-their-own-hand
θηρεύοντες, ὅσοις ἀνδρείας τῆς θείας ἐπιμελές.
hunting for-as-many-as of-courage the divine is-care
τούτων δὴ πάντων ἔπαινος μὲν πέρι καὶ ψόγος ὁ
of-these indeed all praise indeed about and blame the
διειρημένος ἂν εἴη λόγος, νόμος δὲ ὅδε· τούτους μηδεὶς
declared — would-be argument law and this these no-one
τοὺς ἱεροὺς ὄντως θηρευτὰς κωλυέτω ὅπου καὶ ὅπῃπερ
the sacred really hunters let-prevent where and wherever
ἂν ἐθέλωσιν κυνηγετεῖν, νυκτερευτὴν δὲ ἄρκυσιν καὶ
— they-wish to-hunt-with-hounds night-hunter and with-nets and
πλεκταῖς πιστὸν μηδεὶς μηδέποτε ἐάσῃ μηδαμοῦ θηρεῦσαι·
with-snares trusting no-one ever let-allow anywhere to-hunt
τὸν ὀρνιθευτὴν δὲ ἐν ἀργοῖς μὲν καὶ ὄρεσιν μὴ
the fowler and in fallow-lands indeed and mountains not

κωλυέτω, ἐν ἐργασίμοις δὲ καὶ ἱεροῖς ἀγρίοις ἐξειργέτω
let-prevent in cultivated and and sacred wild-lands let-exclude
ὁ προστυγχάνων, ἐνυγροθηρευτὴν δέ, πλὴν ἐν λιμέσιν καὶ
the meeting fisher and except in harbors and
ἱεροῖς ποταμοῖς τε καὶ ἕλεσι καὶ λίμναις, ἐν τοῖς ἄλλοις δὲ
sacred rivers both and marshes and lakes in the others and
ἐξέστω θηρεύειν, μὴ χρώμενον ὀπῶν ἀναθολώσει μόνον.
let-it-be-allowed to-fish not using of-juices muddying only
νῦν οὖν ἤδη πάντα χρὴ φάναι τέλος ἔχειν τά γε
now then already all-things one-must to-say end to-have the-things at-least
παιδείας πέρι νόμιμα.
of-education about customs

CLIN. καλῶς ἂν λέγοις.
finely — you-would-speak

BOOK VIII

I · FESTIVALS AND MONTHLY WAR PRACTICE

The festivals are set with the help of oracles from Delphi, and their number by the lawgivers: one sacrifice every day of the year, twelve festivals for the twelve gods, the women's festivals assigned, and Pluto honored in the twelfth month. Since a good city lives at peace only if it can prevent wrong, the whole people exercises for war at least one day each month, men, women, and children, with contests, prizes, and poems of praise and blame by men over fifty of proven virtue. The city, like an athlete, must practice with sham fights, ambushes, and every imitation of war.

ATH. τούτων μὴν ἐχόμενά ἐστιν τάξασθαι μὲν καὶ 828
these-things indeed next is to-order indeed and
νομοθετήσασθαι ἑορτὰς μετὰ τῶν ἐκ Δελφῶν μαντειῶν,
to-legislate festivals with the from Delphi oracles
αἵτινες θυσίαι καὶ θεοῖς οἷστισιν ἄμεινον καὶ λῷον
which sacrifices and to-gods to-whom better and more-desirable
θυούσῃ τῇ πόλει γίγνοιντ' ἄν· πότε δὲ καὶ πόσαι
for-sacrificing the city would-come-about — when and also how-many
τὸν ἀριθμόν, σχεδὸν ἴσως ἡμέτερον ἂν νομοθετεῖν ἔνιά
the number nearly perhaps ours — to-legislate some
γ' αὐτῶν εἴη.
at-least of-them would-be

CLIN. τάχ' ἂν τὸν ἀριθμόν.
perhaps — the number

ATH. τὸν ἀριθμὸν δὴ λέγωμεν πρῶτον· ἔστωσαν γὰρ b
the number indeed let-us-tell first let-them-be for
τῶν μὲν πέντε καὶ ἑξήκοντα καὶ τριακοσίων μηδὲν
of-the indeed five and sixty and three-hundred nothing
ἀπολείπουσαι, ὅπως ἂν μία γέ τις ἀρχὴ θύῃ θεῶν
falling-short so-that — one at-least some office may-sacrifice of-gods

ἢ δαιμόνων τινὶ ἀεὶ ὑπὲρ πόλεώς τε καὶ αὐτῶν καὶ
or of-daemons to-some always on-behalf-of city both and themselves and
κτημάτων. ταῦτα δὲ συνελθόντες ἐξηγηταὶ καὶ ἱερεῖς
possessions these-things and having-come-together interpreters and priests
ἱέρειαί τε καὶ μάντεις μετὰ νομοφυλάκων ταξάντων ἃ
priestesses both and seers with law-guardians let-them-order which-things
παραλείπειν ἀνάγκη τῷ νομοθέτῃ· καὶ δὴ καὶ αὐτοῦ
to-leave-out necessity for-the lawgiver and indeed also itself
τούτου χρὴ γίγνεσθαι ἐπιγνώμονας τοῦ παραλειπομένου
of-this one-must to-become judges of-the left-out
τούτους τοὺς αὐτούς. ὁ μὲν γὰρ δὴ νόμος ἐρεῖ δώδεκα
these the same the indeed for indeed law will-say twelve
μὲν ἑορτὰς εἶναι τοῖς δώδεκα θεοῖς, ὧν ἂν ἡ φυλὴ
indeed festivals to-be for-the twelve gods from-whom — the tribe
ἑκάστη ἐπώνυμος ᾖ, θύοντας τούτων ἑκάστοις ἔμμηνα
each named may-be sacrificing of-these to-each monthly
ἱερά, χορούς τε καὶ ἀγῶνας μουσικούς, τοὺς δὲ γυμνικούς,
rites choruses both and contests musical the and gymnastic
κατὰ τὸ πρέπον προσνέμοντας τοῖς θεοῖς τε αὐτοῖς ἅμα
according-to the fitting assigning to-the gods both themselves at-once
καὶ ταῖς ὥραις ἑκάσταις, γυναικείας τε ἑορτάς, ὅσαις
and to-the seasons each women's both festivals for-as-many-as
χωρὶς ἀνδρῶν προσήκει καὶ ὅσαις μή, διανέμοντας.
apart-from men it-befits and for-as-many-as not distributing
ἔτι δὲ καὶ τὸ τῶν χθονίων καὶ ὅσους αὖ θεοὺς
still and also the of-the underworld and as-many-as again gods
οὐρανίους ἐπονομαστέον καὶ τὸ τῶν τούτοις ἑπομένων
heavenly must-be-named and the of-the these following
οὐ συμμεικτέον ἀλλὰ χωριστέον, ἐν τῷ τοῦ Πλούτωνος
not must-be-mixed but must-be-separated in the of-the Pluto
μηνὶ τῷ δωδεκάτῳ κατὰ τὸν νόμον ἀποδιδόντας, καὶ
month the twelfth according-to the law rendering and

οὐ δυσχεραντέον πολεμικοῖς ἀνθρώποις τὸν τοιοῦτον θεόν,
not must-be-disliked by-warlike men the such god
ἀλλὰ τιμητέον ὡς ὄντα ἀεὶ τῷ τῶν ἀνθρώπων γένει
but must-be-honored as being always to-the of-the men race
ἄριστον· κοινωνία γὰρ ψυχῇ καὶ σώματι διαλύσεως οὐκ
best partnership for for-soul and body than-dissolution not
ἔστιν ᾗ κρεῖττον, ὡς ἐγὼ φαίην ἂν σπουδῇ λέγων.
is in-which-way better as I would-say — in-earnest speaking
πρὸς τούτοις δὲ διάνοιαν χρὴ σχεῖν τοὺς διαιρήσοντας 829
besides these and thought one-must to-have the going-to-divide
ἱκανῶς ταῦτα τοιάνδε, ὡς ἔσθ' ἡμῖν ἡ πόλις οἵαν οὐκ
sufficiently these-things such that is for-us the city such-as not
ἄν τις ἑτέραν εὕροι τῶν νῦν περὶ χρόνου σχολῆς καὶ
— anyone other would-find of-the now about time of-leisure and
τῶν ἀναγκαίων ἐξουσίας, δεῖ δὲ αὐτήν, καθάπερ ἕνα
of-the necessities of-freedom one-must and it as one
ἄνθρωπον, ζῆν εὖ· τοῖς δὲ εὐδαιμόνως ζῶσιν ὑπάρχειν
man to-live well for-the and happily living to-exist
ἀνάγκη πρῶτον τὸ μήθ' ἑαυτοὺς ἀδικεῖν μήτε ὑφ' ἑτέρων
necessity first the neither themselves to-wrong nor by others
αὐτοὺς ἀδικεῖσθαι. τούτοιν δὲ τὸ μὲν οὐ πάνυ χαλεπόν,
themselves to-be-wronged of-these-two and the(-one) indeed not at-all hard
τοῦ δὲ μὴ ἀδικεῖσθαι κτήσασθαι δύναμιν παγχάλεπον, καὶ
of-the and not to-be-wronged to-acquire power very-hard and
οὐκ ἔστιν αὐτὸ τελέως σχεῖν ἄλλως ἢ τελέως γενόμενον
not is it completely to-have otherwise than completely having-become
ἀγαθόν· ταὐτὸν δὴ τοῦτο ἔστι καὶ πόλει ὑπάρχειν,
good the-same indeed this is also for-city to-exist
γενομένῃ μὲν ἀγαθῇ βίος εἰρηνικός, πολεμικὸς δὲ ἔξωθέν
having-become indeed good life peaceful warlike and from-outside
τε καὶ ἔνδοθεν, ἂν ᾖ κακή. τούτων δὲ ταύτῃ σχεδὸν
both and from-within if it-be bad of-these and in-this-way nearly

ἐχόντων, οὐκ ἐν πολέμῳ τὸν πόλεμον ἑκάστοις γυμναστέον,
being not in war the war by-each one-must-practice
ἀλλ᾽ ἐν τῷ τῆς εἰρήνης βίῳ. δεῖ τοίνυν πόλιν ἑκάστου
but in the of-the peace life one-must then city each
μηνὸς νοῦν κεκτημένην στρατεύεσθαι μὴ ἔλαττον μιᾶς
month mind having to-campaign not less than-one
ἡμέρας, πλείους δέ, ὡς ἂν καὶ τοῖς ἄρχουσιν συνδοκῇ,
day more and as — also to-the officials it-seem-good-together
μηδὲν χειμῶνας ἢ καύματα διευλαβουμένους, αὐτούς τε
nothing winters or heats guarding-against themselves both
ἅμα καὶ γυναῖκας καὶ παῖδας, ὅταν ὡς πανδημίαν
at-once and women and children whenever as in-full-force
ἐξάγειν δόξῃ τοῖς ἄρχουσιν, τοτὲ δὲ καὶ κατὰ μέρη·
to-lead-out it-seem to-the officials at-times and also by parts
καί τινας ἀεὶ παιδιὰς μηχανᾶσθαι καλὰς ἅμα θυσίαις,
and some always plays to-contrive fine together with-sacrifices
ὅπως ἂν γίγνωνται μάχαι τινὲς ἑορταστικαί, μιμούμεναι
so-that — may-come-about battles some festive imitating
τὰς πολεμικὰς ὅτι μάλιστα ἐναργῶς μάχας.
the warlike as most vividly battles
d νικητήρια δὲ καὶ ἀριστεῖα ἑκάστοισι τούτων δεῖ
prizes and and awards-of-valor to-each of-these one-must
διανέμειν ἐγκώμιά τε καὶ ψόγους ποιεῖν ἀλλήλοις, ὁποῖός
to-distribute encomia both and blames to-make for-one-another of-what-sort
τις ἂν ἕκαστος γίγνηται κατά τε τοὺς ἀγῶνας ἐν παντί
some — each becomes in both the contests in every
τε αὖ τῷ βίῳ, τόν τε ἄριστον δοκοῦντα εἶναι κοσμοῦντας
both again the life the both best seeming to-be adorning
καὶ τὸν μὴ ψέγοντας. ποιητὴς δὲ ἔστω τῶν τοιούτων μὴ
and the not blaming poet and let-be of-the such not
ἅπας, ἀλλὰ γεγονὼς πρῶτον μὲν μὴ ἔλαττον πεντήκοντα
everyone but having-become first indeed not less than-fifty

ἐτῶν, μηδ' αὖ τῶν ὁπόσοι ποίησιν μὲν καὶ μοῦσαν
years nor again of-those as-many-as poetry indeed and music
ἱκανῶς κεκτημένοι ἐν αὑτοῖς εἰσιν, καλὸν δὲ ἔργον καὶ
sufficiently possessing in themselves are fine and deed and
ἐπιφανὲς μηδὲν δράσαντες πώποτε· ὅσοι δὲ ἀγαθοί τε
conspicuous nothing having-done ever as-many-as and good both
αὐτοὶ καὶ τίμιοι ἐν τῇ πόλει, ἔργων ὄντες δημιουργοὶ
themselves and honored in the city of-deeds being craftsmen
καλῶν, τὰ τῶν τοιούτων ᾀδέσθω ποιήματα, ἐὰν καὶ μὴ
fine the-things of-the such let-be-sung poems if even not
μουσικὰ πεφύκῃ. κρίσις δὲ αὐτῶν ἔστω παρά τε τῷ
musical they-be-by-nature judgment and of-them let-be with both the
παιδευτῇ καὶ τοῖς ἄλλοις νομοφύλαξι, τοῦτο ἀποδιδόντων
educator and the other law-guardians this let-them-grant
αὐτοῖς γέρας, παρρησίαν ἐν μούσαις εἶναι μόνοις, τοῖς
to-them privilege freedom-of-speech in muses to-be only for-the
δὲ ἄλλοις μηδεμίαν ἐξουσίαν γίγνεσθαι, μηδέ τινα τολμᾶν
and others no license to-come-about nor anyone to-dare
ᾄδειν ἀδόκιμον μοῦσαν μὴ κρινάντων τῶν νομοφυλάκων,
to-sing unapproved music not having-judged the law-guardians
μηδ' ἂν ἡδίων ᾖ τῶν Θαμύρου τε καὶ Ὀρφείων ὕμνων,
not-even if sweeter it-be than-the of-Thamyras both and Orphic hymns
ἀλλ' ὅσα τε ἱερὰ κριθέντα ποιήματα ἐδόθη τοῖς θεοῖς,
but as-many-as both sacred judged poems were-given to-the gods
καὶ ὅσα ἀγαθῶν ὄντων ἀνδρῶν ψέγοντα ἢ ἐπαινοῦντά
and as-many-as of-good being men blaming or praising
τινας ἐκρίθη μετρίως δρᾶν τὸ τοιοῦτον. τὰ αὐτὰ δὲ
some were-judged moderately to-do the such the same-things and
λέγω στρατείας τε πέρι καὶ τῆς ἐν ποιήσεσι παρρησίας
I-say of-campaigning both about and of-the in poetry freedom-of-speech
γυναιξί τε καὶ ἀνδράσιν ὁμοίως γίγνεσθαι δεῖν.
for-women both and for-men alike to-come-about to-be-necessary

χρὴ δὲ ἀναφέρειν παραδεικνύντα ἑαυτῷ τὸν νομοθέτην
one-must and to-refer showing to-himself the lawgiver
τῷ λόγῳ· φέρε, τίνας ποτὲ τρέφω τὴν πόλιν ὅλην
in-the argument come whom ever do-I-rear the city whole
παρασκευάσας; ἆρ' οὐκ ἀθλητὰς τῶν μεγίστων ἀγώνων,
having-prepared then not athletes of-the greatest contests
οἷς ἀνταγωνισταὶ μυρίοι ὑπάρχουσι; καὶ πάνυ γε,
for-whom rivals ten-thousand exist and certainly at-least
φαίη τις ἂν ὀρθῶς λέγων. τί δῆτα; εἰ πύκτας ἢ
would-say one — rightly speaking what indeed if boxers or
παγκρατιαστὰς ἐτρέφομεν ἤ τι τῶν τοιούτων ἕτερον
pancratiasts we-were-rearing or any of-the such other
ἀγωνισμάτων ἀθλοῦντας, ἆρα εἰς αὐτὸν ἂν ἀπηντῶμεν
contests contending then into itself — would-we-go
τὸν ἀγῶνα, ἐν τῷ πρόσθεν χρόνῳ οὐδενὶ καθ' ἡμέραν
the contest in the before time with-no-one by day
προσμαχόμενοι; ἢ πύκται γε ὄντες παμπόλλας ἂν ἡμέρας
fighting or boxers at-least being very-many — days
ἔμπροσθεν τοῦ ἀγῶνος ἐμανθάνομέν τε ἂν μάχεσθαι καὶ
before of-the contest we-would-learn both — to-fight and
διεπονούμεθα, μιμούμενοι πάντα ἐκεῖνα ὁπόσοις ἐμέλλομεν
we-would-toil imitating all those as-many-as we-were-about
εἰς τότε χρήσεσθαι περὶ τῆς νίκης διαμαχόμενοι, καὶ ὡς
at that-time to-use about the victory fighting-it-out and as
ἐγγύτατα τοῦ ὁμοίου ἰόντες, ἀντὶ ἱμάντων σφαίρας ἂν
nearest of-the like going instead-of thongs padded-gloves —
περιεδούμεθα, ὅπως αἱ πληγαί τε καὶ αἱ τῶν πληγῶν
we-would-put-on so-that the blows both and the of-the blows
εὐλάβειαι διεμελετῶντο εἰς τὸ δυνατὸν ἱκανῶς, εἴ τέ τις
guardings might-be-practiced to the possible sufficiently if both any
ἡμῖν συγγυμναστῶν συνέβαινεν ἀπορία πλείων, ἆρ' ἂν
to-us of-sparring-partners there-happened lack greater then —

δείσαντες τὸν τῶν ἀνοήτων γέλωτα οὐκ ἂν ἐτολμῶμεν
fearing the of-the foolish laughter not — would-we-dare
κρεμαννύντες εἴδωλον ἄψυχον γυμνάζεσθαι πρὸς αὐτό; καὶ
hanging-up image lifeless to-train against it and
ἔτι πάντων τῶν τε ἐμψύχων καὶ τῶν ἀψύχων ἀπορήσαντές
still of-all the both animate and the inanimate being-at-a-loss
ποτε, ἐν ἐρημίᾳ συγγυμναστῶν ἆρά γε οὐκ ἐτολμήσαμεν
ever in solitude of-sparring-partners then at-least not would-we-have-dared
ἂν αὐτοὶ πρὸς ἡμᾶς αὐτοὺς σκιαμαχεῖν ὄντως; ἢ τί ποτε
— ourselves against us ourselves to-shadow-box really or what ever
ἄλλο τὴν τοῦ χειρονομεῖν μελέτην ἄν τις φαίη γεγονέναι;
other the of-the shadow-boxing practice — anyone would-say to-have-become
CLIN. σχεδόν, ὦ ξένε, οὐδὲν ἄλλο γε πλὴν τοῦτο αὐτὸ
nearly O stranger nothing other at-least than this itself
ὃ σὺ νῦν ἔφθεγξαι.
which you now uttered
ATH. τί οὖν; τὸ τῆς πόλεως ἡμῖν μάχιμον ἦ χεῖρόν d
what then the of-the city for-us fighting-force truly worse
τι παρασκευασάμενον τῶν τοιούτων ἀγωνιστῶν εἰς
something having-prepared than-the such contestants into
τὸν μέγιστον τῶν ἀγώνων ἑκάστοτε τολμήσει παριέναι,
the greatest of-the contests each-time will-dare to-come
διαμαχούμενον περὶ ψυχῆς καὶ παίδων καὶ χρημάτων καὶ
going-to-fight-it-out about life and children and possessions and
ὅλης τῆς πόλεως; καὶ ταῦτα δὴ φοβηθεὶς αὐτῶν ὁ
whole the city and these-things indeed having-feared of-them the
νομοθέτης τὰ πρὸς ἀλλήλους γυμνάσια μὴ φαίνηταί τισιν
lawgiver the toward one-another exercises lest they-appear to-some
γελοῖα, οὐκ ἄρα νομοθετήσει, στρατεύεσθαι προστάττων
laughable not then he-will-legislate to-campaign enjoining
μάλιστα μὲν ἑκάστης ἡμέρας τά γε σμικρὰ χωρὶς τῶν
most indeed each day the at-least small-things without the

ὅπλων, χορούς τε εἰς ταῦτα ἅμα καὶ γυμναστικὴν πᾶσαν
arms choruses both to these-things at-once and gymnastics all
συντείνων, τὰς δὲ οἷόν τινας μείζους τε καὶ ἐλάττους
directing the and as some greater both and smaller
γυμνασίας μὴ ἔλαττον ἢ κατὰ μῆνα ἕκαστον ποιεῖσθαι
exercises not less than by month each to-make
προστάξει, ἁμίλλας τε πρὸς ἀλλήλους ποιουμένους κατὰ
will-enjoin contests both against one-another making in
πᾶσαν τὴν χώραν, ἐπὶ κατάληψιν χωρίων ἁμιλλωμένους
all the country for seizure of-places competing
καὶ ἐνέδρας, καὶ πᾶσαν μιμουμένους τὴν πολεμικήν,
and ambushes and all imitating the warlike
ὄντως σφαιρομαχεῖν τε καὶ βολαῖς ὡς ἐγγύτατα
really to-fight-with-padded-gloves both and with-throwings as nearest
τῶν ἀληθῶν, χρωμένους ὑποκινδύνοις βέλεσιν, ὅπως μὴ
the true using somewhat-dangerous missiles so-that not
παντάπασιν ἄφοβος ἡ πρὸς ἀλλήλους γίγνηται παιδιά,
altogether fearless the toward one-another become play
δείματα δὲ παρέχῃ καί τινα τρόπον δηλοῖ τόν τε
fears and provide and in-some way reveal the both
εὔψυχον καὶ τὸν μή, καὶ τοῖς μὲν τιμάς, τοῖς
brave and the not and to-the-ones indeed honors to-the-others
δὲ καὶ ἀτιμίας διανέμων ὀρθῶς, τὴν πόλιν ὅλην εἰς
and also dishonors distributing rightly the city whole for
τὸν ἀληθινὸν ἀγῶνα διὰ βίου παρασκευάζῃ χρησίμην,
the true contest through life prepare useful
καὶ δὴ καί τινος ἀποθανόντος οὕτως, ὡς ἀκουσίου τοῦ
and indeed also someone having-died so as involuntary the
φόνου γενομένου, τιθῇ τὸν ἀποκτείναντα κατὰ νόμον
killing having-taken-place set the having-killed according-to law
καθαρθέντα καθαρὸν εἶναι χεῖρας, ἡγούμενος ἀνθρώπων
purified pure to-be in-hands considering men

μὲν τελευτησάντων μὴ πολλῶν, ἑτέρους πάλιν οὐ χείρους
indeed having-died not many others again not worse
φύσεσθαι, φόβου δὲ οἷον τελευτήσαντος, ἐν πᾶσιν τοῖς
to-be-born fear and as-it-were having-died in all the
τοιούτοις βάσανον οὐχ εὑρήσειν τῶν τε ἀμεινόνων καὶ
such-things test not to-find of-the both better and
χειρόνων, οὐ σμικρῷ πόλει μεῖζον κακὸν ἐκείνου;
worse not by-a-small for-city greater evil than-that

II · WHY CITIES DO NOT TRAIN

Cities neglect such training for two reasons: love of wealth, which leaves no leisure and turns the decent into traders and the bold into robbers, and bad constitutions, democracy, oligarchy, and tyranny, which are not constitutions but factions. The new city escapes both. The contests are then laid down: foot races in armor of several lengths, races for girls, and contests in arms.

CLIN. συμφαῖμεν ἂν ἡμεῖς γε, ὦ ξένε, τὰ τοιαῦτα 831
we-would-agree — we at-least O stranger the such-things
δεῖν καὶ νομοθετεῖν καὶ ἐπιτηδεύειν πόλιν ἅπασαν.
to-be-necessary both to-legislate and to-practice city whole
ATH. ἆρ᾽ οὖν γιγνώσκομεν ἅπαντες τὴν αἰτίαν διότι ποτὲ νῦν
so then do-we-know all the cause why ever now
ἐν ταῖς πόλεσιν ἡ τοιαύτη χορεία καὶ ἀγωνία σχεδὸν οὐδαμῇ
in the cities the such dancing and contest nearly in-no-way
οὐδαμῶς ἐστιν, εἰ μὴ πάνυ τι σμικρά; ἢ φῶμεν δι᾽
in-no-way is if not very something small or let-us-say because-of
ἀμαθίαν τῶν πολλῶν καὶ τῶν τιθέντων αὐτοῖς τοὺς νόμους;
ignorance of-the many and of-the setting for-them the laws
CLIN. τάχ᾽ ἄν.
perhaps —

c ATH. οὐδαμῶς, ὦ μακάριε Κλεινία· δύο δὲ χρὴ φάναι
in-no-way O blessed Clinias two and one-must to-say
τούτων αἰτίας εἶναι καὶ μάλα ἱκανάς.
of-these causes to-be and very sufficient
CLIN. ποίας;
what-sort
d ATH. τὴν μὲν ὑπ᾽ ἔρωτος πλούτου πάντα χρόνον
the(-one) indeed by love of-wealth all time
ἄσχολον ποιοῦντος τῶν ἄλλων ἐπιμελεῖσθαι πλὴν τῶν
without-leisure making the other-things to-take-care-of except the
ἰδίων κτημάτων, ἐξ ὧν κρεμαμένη πᾶσα ψυχὴ πολίτου
private possessions from which hanging every soul of-citizen
παντὸς οὐκ ἄν ποτε δύναιτο τῶν ἄλλων ἐπιμέλειαν
every not — ever could the other-things care
ἴσχειν πλὴν τοῦ καθ᾽ ἡμέραν κέρδους· καὶ ὅτι μὲν
to-have except the by day gain and whatever indeed
πρὸς τοῦτο φέρει μάθημα ἢ καὶ ἐπιτήδευμα, ἰδίᾳ πᾶς
toward this tends lesson or also practice privately every-one
μανθάνειν τε καὶ ἀσκεῖν ἑτοιμότατός ἐστιν, τῶν δὲ ἄλλων
to-learn both and to-practice most-ready is of-the and others
καταγελᾷ. τοῦτο μὲν ἓν καὶ ταύτην μίαν αἰτίαν χρὴ
be-laughs-at this indeed one and this one cause one-must
φάναι τοῦ μήτε τοῦτο μήτ᾽ ἄλλο μηδὲν καλὸν κἀγαθὸν
to-say of-the neither this nor other nothing fine and-good
ἐθέλειν ἐπιτήδευμα πόλιν σπουδάζειν, ἀλλὰ διὰ τὴν
to-be-willing practice city to-be-earnest-about but because-of the
τοῦ χρυσοῦ τε καὶ ἀργύρου ἀπληστίαν πᾶσαν μὲν τέχνην
of-the gold both and silver insatiability every indeed art
καὶ μηχανήν, καλλίω τε καὶ ἀσχημονεστέραν, ἐθέλειν
and device finer both and more-unseemly to-be-willing
ὑπομένειν πάντα ἄνδρα, εἰ μέλλει πλούσιος ἔσεσθαι,
to-endure every man if is-to rich to-be

καὶ πρᾶξιν πράττειν ὅσιόν τε καὶ ἀνόσιον καὶ πάντως
and action to-do holy both and unholy and altogether
αἰσχράν, μηδὲν δυσχεραίνοντα, ἐὰν μόνον ἔχῃ δύναμιν
shameful nothing disliking if only be-have power
καθάπερ θηρίῳ τοῦ φαγεῖν παντοδαπὰ καὶ πιεῖν ὡσαύτως
as for-beast of-the to-eat all-kinds and to-drink likewise
καὶ ἀφροδισίων πᾶσαν πάντως παρασχεῖν πλησμονήν.
and of-sexual-things every altogether to-provide satiety
CLIN. ὀρθῶς.
rightly
ATH. αὕτη μὲν τοίνυν, ἣν λέγω, μία κείσθω διακωλύουσα 832
this indeed then which I-mean one let-lie preventing
αἰτία τοῦ μήτε ἄλλο καλὸν μήτε τὰ πρὸς τὸν
cause of-the neither other fine-thing nor the-things toward the
πόλεμον ἱκανῶς ἐῶσα ἀσκεῖν τὰς πόλεις, ἀλλ᾽ ἐμπόρους
war sufficiently allowing to-practice the cities but merchants
τε καὶ ναυκλήρους καὶ διακόνους πάντως τοὺς φύσει
both and ship-owners and servants altogether the by-nature
κοσμίους τῶν ἀνθρώπων ἀπεργαζομένη, τοὺς δὲ ἀνδρείους
orderly of-the men rendering the and brave
λῃστὰς καὶ τοιχωρύχους καὶ ἱεροσύλους καὶ πολεμικοὺς
robbers and burglars and temple-robbers and warlike
καὶ τυραννικοὺς ποιοῦσα, καὶ μάλ᾽ ἐνίοτε οὐκ ἀφυεῖς
and tyrannical making and very sometimes not ill-endowed
ὄντας, δυστυχοῦντάς γε μήν.
being being-unfortunate at-least indeed
CLIN. πῶς λέγεις;
how do-you-mean

ATH. πῶς μὲν οὖν αὐτοὺς οὐ λέγοιμ᾽ ἂν τὸ παράπαν
how indeed then them not would-I-call — the altogether
δυστυχεῖς, οἷς γε ἀνάγκη διὰ βίου πεινῶσιν τὴν
unfortunate for-whom at-least necessity through life starving the
ψυχὴν ἀεὶ τὴν αὑτῶν διεξελθεῖν;
soul always the their-own to-go-through
CLIN. αὕτη μὲν τοίνυν μία· τὴν δὲ δὴ δευτέραν αἰτίαν
this indeed then one the and indeed second cause
τίνα λέγεις, ὦ ξένε;
what do-you-mean O stranger
ATH. καλῶς ὑπέμνησας.
well you-reminded
b CLIN. αὕτη μὲν δή, φῂς σύ, μία, ἡ διὰ βίου ἄπληστος
this indeed indeed you-say you one the through life insatiable
ζήτησις, παρέχουσα ἄσχολον ἕκαστον, ἐμπόδιος γίγνεται
seeking providing without-leisure each hindrance becomes
τοῦ μὴ καλῶς ἀσκεῖν τὰ περὶ τὸν πόλεμον ἑκάστους.
of-the not well to-practice the-things about the war each
ἔστω· τὴν δὲ δὴ δευτέραν λέγε.
let-it-be the and indeed second tell
ATH. μῶν οὐ λέγειν ἀλλὰ διατρίβειν δοκῶ δι᾽ ἀπορίαν;
surely-not not to-speak but to-waste-time I-seem through perplexity
CLIN. οὔκ, ἀλλὰ οἷον μισῶν δοκεῖς ἡμῖν κολάζειν τὸ τοιοῦτον
no but as hating you-seem to-us to-punish the such
ἦθος μᾶλλον τοῦ δέοντος τῷ παραπεπτωκότι λόγῳ.
character more than-the needful with-the having-fallen-in argument
ATH. κάλλιστα, ὦ ξένοι, ἐπεπλήξατε· καὶ τὸ μετὰ τοῦτο
most-finely O strangers you-rebuked and the after this
ἀκούοιτ᾽ ἄν, ὡς ἔοικε.
you-would-hear — as it-seems
CLIN. λέγε μόνον.
speak only

ΑΘΗ. τὰς οὐ πολιτείας ἔγωγε αἰτίας εἶναί φημι ἃς πολλάκις c
the not constitutions I-for-my-part causes to-be I-say which often
εἴρηκα ἐν τοῖς πρόσθεν λόγοις, δημοκρατίαν καὶ ὀλιγαρχίαν
I-have-said in the before arguments democracy and oligarchy
καὶ τυραννίδα. τούτων γὰρ δὴ πολιτεία μὲν οὐδεμία,
and tyranny of-these for indeed constitution indeed none
στασιωτεῖαι δὲ πᾶσαι λέγοιντ' ἂν ὀρθότατα· ἑκόντων γὰρ
faction-rules and all would-be-called — most-rightly of-willing for
ἑκοῦσα οὐδεμία, ἀλλ' ἀκόντων ἑκοῦσα ἄρχει σὺν ἀεί τινι βίᾳ,
willing none but of-unwilling willing rules with always some force
φοβούμενος δὲ ἄρχων ἀρχόμενον οὔτε καλὸν οὔτε πλούσιον
fearing and ruler ruled neither fine nor rich
οὔτε ἰσχυρὸν οὔτ' ἀνδρεῖον οὔτε τὸ παράπαν πολεμικὸν ἑκὼν
nor strong nor brave nor the altogether warlike willingly
ἐάσει γίγνεσθαί ποτε. ταῦτ' οὖν ἐστι τὰ δύο πάντων μὲν
will-allow to-become ever these-things then are the two of-all indeed
σμικροῦ διαφερόντως αἴτια, τούτων δ' οὖν ὄντως διαφέρει.
almost exceptionally causes of-these and then really it-differs
τὸ δὲ τῆς νῦν πολιτείας, ἣν νομοθετούμενοι λέγομεν,
the and of-the present constitution which legislating we-speak-of
ἐκπέφευγεν ἀμφότερα· σχολήν τε γὰρ ἄγει που μεγίστην,
has-escaped both leisure both for it-leads surely greatest
ἐλεύθεροί τε ἀπ' ἀλλήλων εἰσί, φιλοχρήματοι δὲ ἥκιστ' ἄν,
free both from one-another they-are money-loving and least —
οἶμαι, γίγνοιντ' ἂν ἐκ τούτων τῶν νόμων, ὥστ' εἰκότως ἅμα
I-think would-become — from these the laws so-that reasonably at-once
καὶ κατὰ λόγον ἡ τοιαύτη κατάστασις πολιτείας μόνη
and according-to reason the such establishment of-constitution alone
δέξαιτ' ἂν τῶν νῦν τὴν διαπερανθεῖσαν παιδείαν τε ἅμα
would-receive — of-the now the completed education both at-once
καὶ παιδιὰν πολεμικήν, ἀποτελεσθεῖσαν ὀρθῶς τῷ λόγῳ.
and play warlike accomplished rightly in-the argument

CLIN. καλῶς.
finely

e ATH. ἆρ᾽ οὖν οὐ τούτοις ἐφεξῆς ἐστιν μνησθῆναί ποτε
so then not to-these next is to-make-mention ever
περὶ ἁπάντων τῶν ἀγώνων τῶν γυμνικῶν, ὡς ὅσα
about all the contests the gymnastic that as-many-as
μὲν αὐτῶν πρὸς πόλεμόν ἐστιν ἀγωνίσματα ἐπιτηδευτέον
indeed of-them for war are contests must-be-practiced
καὶ θετέον ἆθλα νικητήρια, ὅσα δὲ μή, χαίρειν
and must-be-set prizes victory-prizes as-many-as and not to-fare-well
ἐατέον; ἃ δ᾽ ἔστιν, ἐξ ἀρχῆς ἄμεινον ῥηθῆναί τε
must-be-let-be which and it-is from beginning better to-be-said both
καὶ νομοθετηθῆναι. καὶ πρῶτον μὲν τὰ περὶ δρόμον
and to-be-legislated and first indeed the-things about running
καὶ τάχος ὅλως ἆρ᾽ οὐ θετέον;
and speed wholly then not must-be-set
CLIN. θετέον.
must-be-set

833 ATH. ἔστι γοῦν πάντων πολεμικώτατον ἡ σώματος ὀξύτης
is at-any-rate of-all most-warlike the of-body quickness
πάντως, ἡ μὲν ἀπὸ τῶν ποδῶν, ἡ δὲ καὶ ἀπὸ τῶν
altogether the(-one) indeed from the feet the(-other) and also from the
χειρῶν· φυγεῖν μὲν καὶ ἑλεῖν ἡ τῶν ποδῶν, ἡ δ᾽ ἐν ταῖς
hands to-flee indeed and to-catch the of-the feet the and in the
συμπλοκαῖς μάχη καὶ σύστασις ἰσχύος καὶ ῥώμης δεομένη.
grapplings fighting and standing-firm of-strength and of-force needing
CLIN. τί μήν;
what indeed
ATH. οὐ μὴν χωρίς γε ὅπλων οὐδετέρα τὴν μεγίστην
not indeed apart at-least from-arms neither the greatest
ἔχει χρείαν.
has use

CLIN. πῶς γὰρ ἄν;
how for —

ATH. σταδιοδρόμον δὴ πρῶτον ὁ κῆρυξ ἡμῖν, καθάπερ νῦν, b
stade-runner indeed first the herald for-us as now
ἐν τοῖς ἀγῶσι παρακαλεῖ, ὁ δὲ εἴσεισιν ὅπλα ἔχων· ψιλῷ δὲ
in the contests calls-forward the and enters arms having to-bare and
ἆθλα οὐ θήσομεν ἀγωνιστῇ. πρῶτος δὲ εἴσεισιν ὁ τὸ στάδιον
prizes not we-shall-set contestant first and enters the the stade
ἀμιλλησόμενος σὺν τοῖς ὅπλοις, δεύτερος δὲ ὁ τὸν δίαυλον,
going-to-compete with the arms second and the the double-course
καὶ τρίτος ὁ τὸν ἐφίππιον, καὶ δὴ καὶ τέταρτος ὁ τὸν
and third the the horse-course and indeed also fourth the the
δόλιχον, καὶ πέμπτος δὲ ὃν ἀφήσομεν πρῶτον ὡπλισμένον,
long-course and fifth and whom we-shall-send-off first armed
ἑξήκοντα μὲν σταδίων μῆκος πρὸς ἱερὸν Ἄρεώς τι καὶ
sixty indeed of-stades length to sanctuary of-Ares some and
πάλιν, βαρύτερον, ὁπλίτην ἐπονομάζοντες, λειοτέρας ὁδοῦ
again heavier hoplite naming of-smoother road
διαμιλλώμενον, τὸν δὲ ἄλλον, τοξότην πᾶσαν τοξικὴν
competing the and other archer all archery
ἔχοντα στολήν, σταδίων δὲ ἑκατὸν πρὸς Ἀπόλλωνός τε καὶ
having equipment of-stades and hundred to of-Apollo both and
Ἀρτέμιδος ἱερὸν τὴν δι᾽ ὀρῶν τε καὶ παντοίας χώρας
of-Artemis sanctuary the through mountains both and of-all-sorts country
ἀμιλλώμενον· καὶ τιθέντες τὸν ἀγῶνα μενοῦμεν τούτους, ἕως
competing and setting the contest we-shall-await these until
ἂν ἔλθωσι, καὶ τῷ νικῶντι τὰ νικητήρια δώσομεν ἑκάστων.
— they-come and to-the victor the victory-prizes we-shall-give of-each

CLIN. ὀρθῶς.
rightly

d ΑΤΗ. τριττὰ δὴ ταῦτα ἀθλήματα διανοηθῶμεν, ἓν μὲν
threefold indeed these contests let-us-consider one indeed
παιδικόν, ἓν δὲ ἀγενείων, ἓν δὲ ἀνδρῶν· καὶ τοῖς μὲν
of-boys one and of-beardless-youths one and of-men and for-the indeed
τῶν ἀγενείων τὰ δύο τῶν τριῶν τοῦ μήκους τοῦ δρόμου
of-the beardless-youths the two of-the three of-the length of-the course
θήσομεν, τοῖς δὲ παισὶ τὰ τούτων ἡμίσεα, τοξόταις τε καὶ
we-shall-set for-the and boys the of-these halves for-archers both and
ὁπλίταις ἁμιλλωμένοις, γυναιξὶν δέ, κόραις μὲν ἀνήβοις
for-hoplites competing for-women and for-girls indeed not-yet-adolescent
γυμναῖς στάδιον καὶ δίαυλον καὶ ἐφίππιον καὶ δόλιχον,
naked stade and double-course and horse-course and long-course
ἐν αὐτῷ τῷ δρόμῳ ἁμιλλωμέναις, ταῖς δὲ τριακαιδεκέτεσι
in itself the course competing for-the and thirteen-year-olds
μέχρι γάμου μενούσαις κοινωνίας μὴ μακρότερον εἴκοσι
until marriage remaining of-partnership not longer than-twenty
ἐτῶν μηδ' ἔλαττον ὀκτωκαίδεκα· πρεπούσῃ δὲ στολῇ
years nor less than-eighteen fitting and with-dress
ταύτας ἐσταλμένας καταβατέον ἐπὶ τὴν ἅμιλλαν τούτων
these equipped one-must-go-down to the competition of-these
τῶν δρόμων. καὶ τὰ μὲν περὶ δρόμους ἀνδράσι τε καὶ
the races and the-things indeed about races for-men both and
γυναιξὶ ταῦτα ἔστω· τὰ δὲ κατ' ἰσχύν, ἀντὶ μὲν
for-women these-things let-be the-things and in strength instead-of indeed
πάλης καὶ τῶν τοιούτων, τὰ νῦν ὅσα βαρέα, τὴν ἐν τοῖς
wrestling and of-the such the now as-many-as heavy the in the
ὅπλοις μάχην, ἕνα τε πρὸς ἕνα διαμαχομένους καὶ δύο πρὸς
arms fight one both against one fighting-it-out and two against
δύο, καὶ μέχρι δέκα πρὸς δέκα διαμιλλωμένους ἀλλήλοις.
two and up-to ten against ten competing with-one-another

The rules of combat contests are set, chariots are dropped for single horses and mounted archery suited to Crete, and girls ride only if they are willing; music contests are left to their judges. Then the hardest question: the passions of young men and women who live well fed and at leisure. Crete and Sparta, a help to such a lawgiver in much else, stand wholly against him on love. A lawgiver following nature might restore the law from before Laius, that men did not lie with males, for such love breeds neither courage in the one seduced nor temperance in the seducer.

ΑΘΗ. ἃ δὲ τὸν μὴ παθόντα ἢ ποιήσαντα δεῖ νικᾶν καὶ 834
which and the not having-suffered or having-done one-must to-win and
εἰς ὁπόσα, καθάπερ νῦν ἐν τῇ πάλῃ διενομοθετήσαντο οἱ
in how-many as now in the wrestling they-have-legislated the
περὶ τὴν πάλην αὐτὴν τί τοῦ καλῶς παλαίοντος ἔργον καὶ
about the wrestling itself what of-the well wrestling work and
μὴ καλῶς, ταὐτὸν δὴ καὶ τοὺς περὶ ὁπλομαχίαν ἄκρους
not well the-same indeed also the about fighting-in-armor excellent
παρακαλοῦντας, χρὴ τούτους συννομοθετεῖν κελεύειν τίς
calling-in one-must these to-legislate-with to-bid who
νικᾶν ἄρα δίκαιος περὶ ταύτας αὖ τὰς μάχας, ὅτι μὴ
to-win then just about these again the fights what not
παθὼν ἢ δράσας, καὶ τὸν ἡττώμενον ὡσαύτως ἥτις
having-suffered or having-done and the defeated likewise which
διακρίνει τάξις. ταὐτὰ δὲ καὶ περὶ τῶν θηλειῶν ἔστω
decides order the-same-things and also about the females let-be
νομοθετούμενα τῶν μέχρι γάμου. πελταστικὴν δὲ ὅλην
legislated of-the up-to marriage light-shield-fighting and whole
ἀντιστήσαντας δεῖ τῇ τοῦ παγκρατίου μάχῃ, τόξοις
having-set-against one-must to-the of-the pancratium fight with-bows
καὶ πέλταις καὶ ἀκοντίοις καὶ λίθῳ ἐκ χειρός τε καὶ
and with-light-shields and with-javelins and with-stone from hand both and

σφενδόναις ἁμιλλωμένων, διαθεμένους αὖ περὶ τούτων
with-slings competing having-arranged again about these
νόμους, τῷ κάλλιστα ἀποδιδόντι τὰ περὶ ταῦτα νόμιμα
laws to-the most-finely rendering the-things about these-things customs
τὰ γέρα καὶ τὰς νίκας διανέμειν. τὸ δὲ μετὰ ταῦτα ἵππων
the privileges and the victories to-distribute the and after these-things of-horses
δὴ περὶ ἀγῶνος γίγνοιτο ἑξῆς ἂν νομοθετούμενα· ἵππων
indeed about contest would-come-about next — legislated of-horses
δὲ ἡμῖν χρεία μὲν οὔτε τις πολλῶν οὔτε πολλή, κατά γε
and for-us need indeed neither some of-many nor much in at-least
δὴ Κρήτην, ὥστε ἀναγκαῖον καὶ τὰς σπουδὰς ἐλάττους
indeed Crete so-that necessary also the earnest-pursuits less
γίγνεσθαι τάς τε ἐν τῇ τροφῇ καὶ τὰς περὶ ἀγωνίαν αὐτῶν.
to-become the both in the rearing and the about contest of-them
c ἅρματος μὲν οὖν καὶ τὸ παράπαν οὔτε τις τροφεὺς ἡμῖν
of-chariot indeed then also the altogether neither any breeder for-us
ἐστιν οὔτε τις φιλοτιμία πρὸς ταῦτα οὐδενὶ γίγνοιτ' ἂν
is nor any ambition for these-things for-no-one would-come-about —
λόγον ἔχουσα, ὥστε τούτου μὲν ἀγωνιστάς, οὐκ ἐπιχώριον,
reason having so-that of-this indeed contestants not native
ἔσται τιθέντας νοῦν μήτε ἔχειν μήτε δοκεῖν κεκτῆσθαι·
it-will-be setting mind neither to-have nor to-seem to-have-acquired
μονίπποις δὲ ἆθλα τιθέντες, πώλοις τε ἀβόλοις καὶ
for-single-horses and prizes setting for-colts both not-yet-shedding-teeth and
τελείων τε καὶ ἀβόλων τοῖς μέσοις καὶ αὐτοῖς
of-full-grown both and of-not-yet-shedding-teeth for-the middle and themselves
δὴ τοῖς τέλος ἔχουσι, κατὰ φύσιν τῆς χώρας ἂν τὴν
indeed the end having according-to nature of-the country — the
ἱππικὴν παιδιὰν ἀποδιδοῖμεν. ἔστω δὴ τούτων τε αὐτῶν
equestrian play we-might-render let-there-be indeed of-these both themselves
κατὰ νόμον ἅμιλλά τε καὶ φιλονικία, φυλάρχοις τε
according-to law competition both and rivalry to-tribe-commanders both

καὶ ἱππάρχοις δεδομένη κοινὴ κρίσις ἁπάντων τῶν τε
and to-cavalry-commanders given common judgment of-all the both
δρόμων αὐτῶν καὶ τῶν καταβαινόντων μεθ' ὅπλων· ψιλοῖς
races themselves and of-the going-down with arms for-bare
δὲ ὅπλων οὔτ' ἐν τοῖς γυμνικοῖς οὔτε ἐνταῦθα τιθέντες
and of-arms neither in the gymnastic nor here setting
ἀγωνίας ὀρθῶς ἂν νομοθετοῖμεν. τοξότης δὲ ἀφ' ἵππων
contests rightly — we-would-legislate archer and from horses
Κρὴς οὐκ ἄχρηστος, οὐδ' ἀκοντιστής, ὥστε ἔστω καὶ
Cretan not useless nor javelin-thrower so-that let-there-be also
τούτων παιδιᾶς χάριν ἔρις τε καὶ ἀγωνία. θηλείας δὲ περὶ
of-these of-play for-the-sake rivalry both and contest females and about
τούτων νόμοις μὲν καὶ ἐπιτάξεσιν οὐκ ἄξια βιάζεσθαι τῆς
these by-laws indeed and injunctions not worth to-force of-the
κοινωνίας· ἐὰν δὲ ἐξ αὐτῶν τῶν ἔμπροσθεν παιδευμάτων
partnership if and from themselves the before educations
εἰς ἔθος ἰόντων ἡ φύσις ἐνδέχηται καὶ μὴ δυσχεραίνῃ
into habit going the nature allow and not dislike
παῖδας ἢ παρθένους κοινωνεῖν, ἐᾶν καὶ μὴ ψέγειν.
girls or maidens to-share to-let and not to-blame
ἀγωνία δὴ νῦν ἤδη καὶ μάθησις γυμναστικῆς, ὅσα 835
contest indeed now already and learning of-gymnastics as-many-as
τε ἐν ἀγῶσιν καὶ ὅσα καθ' ἡμέραν ἐν διδασκάλων
both in contests and as-many-as by day in of-teachers
ἐκπονούμεθα, πάντως ἤδη πέρας ἔχει. καὶ δὴ καὶ
we-work-at altogether already limit has and indeed also
μουσικῆς τὰ μὲν πλεῖστα ὡσαύτως διαπεπέρανται,
of-music the-things indeed most likewise have-been-completed
τὰ δὲ ῥαψῳδῶν καὶ τῶν τούτοις ἑπομένων, καὶ
the-things and of-rhapsodes and of-the to-these following and
ὅσαι ἐν ἑορταῖς ἅμιλλαι χορῶν ἀναγκαῖαι γίγνεσθαι,
as-many-as in festivals competitions of-choruses necessary to-come-about

ταχθέντων τοῖς θεοῖς τε καὶ τοῖς μετὰ θεῶν μηνῶν καὶ
having-been-ordered for-the gods both and for-the after gods of-months and
ἡμερῶν καὶ ἐνιαυτῶν, κοσμηθήσονται τότε, εἴτε τριετηρίδες
of-days and of-years will-be-arranged then whether triennial
εἴτε αὖ καὶ διὰ πέμπτων ἐτῶν, εἴθ' ὅπῃ καὶ ὅπως
or again also every fifth year or howsoever and however
ἔννοιαν διδόντων τῶν θεῶν τάξεως πέρι διανεμηθῶσιν·
thought giving the gods of-order about they-be-distributed
b τότε καὶ τοὺς μουσικῆς ἀγῶνας χρὴ προσδοκᾶν κατὰ μέρος
then also the of-music contests one-must to-expect by turn
ἀγωνιεῖσθαι ταχθέντας ὑπό τε ἀθλοθετῶν καὶ τοῦ παιδευτοῦ
to-be-contested ordered by both prize-givers and the educator
τῶν νέων καὶ τῶν νομοφυλάκων, εἰς κοινὸν περὶ αὐτῶν
of-the young and the law-guardians into common about them
τούτων συνελθόντων καὶ γενομένων νομοθετῶν αὐτῶν, τοῦ
these having-come-together and having-become lawgivers themselves of-the
τε πότε καὶ τίνες καὶ μετὰ τίνων τοὺς ἀγῶνας ποιήσονται
both when and who and with whom the contests they-will-make
περὶ ἁπάντων χορῶν καὶ χορείας. οἷα δὲ ἕκαστα αὐτῶν
about all choruses and dancing what-sort and each of-them
εἶναι δεῖ κατὰ λόγον καὶ κατ' ᾠδὰς καὶ καθ' ἁρμονίας
to-be one-must in speech and in songs and in harmonies
ῥυθμοῖς κραθείσας καὶ ὀρχήσεσι, πολλάκις εἴρηται
with-rhythms mixed and dances often it-has-been-said
τῷ πρώτῳ νομοθέτῃ, καθ' ἃ τοὺς δευτέρους δεῖ
by-the first lawgiver according-to which the second one-must
μεταδιώκοντας νομοθετεῖν, καὶ τοὺς ἀγῶνας πρεπόντως
following-after to-legislate and the contests fittingly
ἑκάστοις θύμασιν ἐν χρόνοις προσήκουσι νείμαντας, ἑορτὰς
for-each sacrifices in times fitting having-distributed festivals
ἀποδοῦναι τῇ πόλει ἑορτάζειν. ταῦτα μὲν οὖν καὶ ἄλλα
to-render to-the city to-keep-festival these-things indeed then and other

τοιαῦτα οὔτε χαλεπὸν γνῶναι τίνα τρόπον χρὴ τάξεως
such-things neither hard to-know in-what way one-must of-order
ἐννόμου λαγχάνειν, οὐδ' αὖ μετατιθέμενα ἔνθα ἢ ἔνθα μέγα
lawful to-obtain nor again being-changed here or there great
τῇ πόλει κέρδος ἢ ζημίαν ἂν φέροι· ἃ δὲ μὴ σμικρὸν
to-the city gain or loss — would-bring which-things and not small
διαφέρει, πείθειν τε χαλεπόν, θεοῦ μὲν μάλιστα ἔργον, εἴ
differ to-persuade both hard of-god indeed most work if
πως οἷόν τε ἦν ἐπιτάξεις αὐτὰς παρ' ἐκείνου γίγνεσθαι,
somehow possible — it-were injunctions themselves from that-one to-come-about
νῦν δὲ ἀνθρώπου τολμηροῦ κινδυνεύει δεῖσθαί τινος, ὃς
now and of-man bold it-is-likely to-need some who
παρρησίαν διαφερόντως τιμῶν ἐρεῖ τὰ δοκοῦντα
freedom-of-speech exceptionally honoring will-say the-things seeming
ἄριστ' εἶναι πόλει καὶ πολίταις, ἐν ψυχαῖς διεφθαρμέναις
best to-be for-city and for-citizens in souls corrupted
τὸ πρέπον καὶ ἑπόμενον πάσῃ τῇ πολιτείᾳ τάττων,
the fitting and following for-all the constitution ordering
ἐναντία λέγων ταῖς μεγίσταισιν ἐπιθυμίαις καὶ οὐκ ἔχων
opposite-things saying to-the greatest desires and not having
βοηθὸν ἄνθρωπον οὐδένα, λόγῳ ἑπόμενος μόνῳ μόνος.
helper man none by-argument following only alone

CLIN. τίν' αὖ νῦν, ὦ ξένε, λόγον λέγομεν; οὐ γάρ πω d
what again now O stranger argument do-we-mean not for yet
μανθάνομεν.
we-understand

ATH. εἰκότως γε· ἀλλὰ δὴ πειράσομαι ἐγὼ φράζειν ὑμῖν e
reasonably at-least but indeed I-shall-try I to-declare to-you
ἔτι σαφέστερον. ὡς γὰρ εἰς παιδείαν ἦλθον τῷ λόγῳ, εἶδον
still more-clearly when for to education I-came in-the argument I-saw
νέους τε καὶ νέας ὁμιλοῦντας φιλοφρόνως ἀλλήλοις·
young-men both and young-women associating kindly with-one-another

εἰσῆλθεν δή με, οἷον εἰκός, φοβηθῆναι, συννοήσαντα τί
came-upon indeed me as likely to-fear having-considered what
τις χρήσεται τῇ τοιαύτῃ πόλει ἐν ᾗ δὴ νέοι
one will-do with-the such city in which indeed young-men
μὲν νέαι τε εὐτρεφεῖς εἰσί, πόνων δὲ σφοδρῶν καὶ
indeed young-women both well-nourished are of-toils and violent and
ἀνελευθέρων, οἳ μάλιστα ὕβριν σβεννύασιν, ἀργοί, θυσίαι
illiberal which most insolence quench idle sacrifices
δὲ καὶ ἑορταὶ καὶ χοροὶ πᾶσιν μέλουσιν διὰ βίου. τίνα
and and festivals and choruses to-all are-a-care through life in-what
δή ποτε τρόπον ἐν ταύτῃ τῇ πόλει ἀφέξονται τῶν πολλοὺς
indeed ever way in this the city will-they-abstain of-the many
δὴ πολλὰ ἐπιθυμιῶν εἰς ἔσχατα βαλλουσῶν, ὧν ἂν
indeed many of-desires to extremes casting from-which-things —
ὁ λόγος προστάττῃ ἀπέχεσθαι, νόμος ἐπιχειρῶν γίγνεσθαι;
the reason enjoin to-abstain law attempting to-become
836 καὶ τῶν μὲν πολλῶν οὐ θαυμαστὸν ἐπιθυμιῶν εἰ κρατοῖ τὰ
and of-the indeed many not wonderful desires if should-master the
πρόσθεν νόμιμα ταχθέντα — τὸ γὰρ μὴ πλουτεῖν τε ἐξεῖναι
before customs ordered the for not to-be-rich both to-be-allowed
ὑπερβαλλόντως ἀγαθὸν πρὸς τὸ σωφρονεῖν οὐ σμικρόν, καὶ
excessively good toward the to-be-temperate not small and
πᾶσα ἡ παιδεία μετρίους πρὸς τὰ τοιαῦτ' εἴληφεν νόμους,
all the education moderate for the such-things has-received laws
καὶ πρὸς τούτοις ἡ τῶν ἀρχόντων ὄψις διηναγκασμένη μὴ
and besides these the of-the officials eye compelled not
ἀποβλέπειν ἄλλοσε, τηρεῖν δ' ἀεί, τοὺς νέους τ' αὐτούς,
to-look elsewhere to-watch and always the young both themselves
πρὸς μὲν τὰς ἄλλας ἐπιθυμίας, ὅσα γε ἀνθρώπινα,
toward indeed the other desires as-many-as at-least human
μέτρον ἔχει — τὰ δὲ δὴ τῶν ἐρώτων παίδων τε
measure has the-things and indeed of-the loves of-children both

ἀρρένων καὶ θηλειῶν καὶ γυναικῶν ἀνδρῶν καὶ ἀνδρῶν
male and female and of-women of-men and of-men
γυναικῶν ὅθεν δὴ μυρία γέγονεν ἀνθρώποις ἰδίᾳ
of-women whence indeed countless-things have-come-about for-men privately
καὶ ὅλαις πόλεσιν, πῶς τις τοῦτο διευλαβοῖτ' ἄν, καὶ
and for-whole cities how anyone this would-guard-against — and
τί τεμὼν φάρμακον τούτοις ἑκάστοις τοῦ τοιούτου κινδύνου
what cutting remedy for-these each of-the such danger
διαφυγὴν εὑρήσει; πάντως οὐ ῥᾴδιον, ὦ Κλεινία. καὶ γὰρ
escape will-find altogether not easy O Clinias and for
οὖν πρὸς μὲν ἄλλα οὐκ ὀλίγα ἡ Κρήτη τε ἡμῖν ὅλη καὶ
then for indeed other-things not few the Crete both for-us whole and
ἡ Λακεδαίμων βοήθειαν ἐπιεικῶς οὐ σμικρὰν συμβάλλονται
the Lacedaemon help fairly not small contribute
τιθεῖσι νόμους ἀλλοίους τῶν πολλῶν τρόπων, περὶ δὲ τῶν
setting laws different than-the many ways about and the
ἐρώτων — αὐτοὶ γάρ ἐσμεν — ἐναντιοῦνται παντάπασιν.
loves themselves for we-are they-oppose altogether
εἰ γάρ τις ἀκολουθῶν τῇ φύσει θήσει τὸν πρὸ τοῦ Λαΐου c
if for anyone following the nature shall-set the before the of-Laius
νόμον, λέγων ὡς ὀρθῶς εἶχεν τὸ τῶν ἀρρένων καὶ νέων μὴ
law saying that rightly it-was the of-the males and young not
κοινωνεῖν καθάπερ θηλειῶν πρὸς μεῖξιν ἀφροδισίων, μάρτυρα
to-share as of-females for mixing of-sexual-things as-witness
παραγόμενος τὴν τῶν θηρίων φύσιν καὶ δεικνὺς πρὸς τὰ
bringing-in the of-the beasts nature and showing toward the
τοιαῦτα οὐχ ἁπτόμενον ἄρρενα ἄρρενος διὰ τὸ μὴ φύσει
such-things not touching male male because-of the not by-nature
τοῦτο εἶναι, τάχ' ἂν χρῷτο πιθανῷ λόγῳ, καὶ ταῖς
this to-be perhaps — he-would-use persuasive argument and with-the
ὑμετέραις πόλεσιν οὐδαμῶς συμφωνοῖ. πρὸς δὲ τούτοις, ὃ
your cities in-no-way agree besides and these which

διὰ παντός φαμεν δεῖν τὸν νομοθέτην τηρεῖν, τοῦτο
through all we-say to-be-necessary the lawgiver to-watch this
ἐν τούτοις οὐχ ὁμολογεῖ. ζητοῦμεν γὰρ ἀεὶ δὴ τί τῶν
in these not agrees we-seek for always indeed what of-the
τιθεμένων πρὸς ἀρετὴν φέρει καὶ τί μή· φέρε δή, τοῦτο
being-set toward virtue tends and what not come indeed this
ἐὰν συγχωρῶμεν καλὸν ἢ μηδαμῶς αἰσχρὸν νομοθετεῖσθαι
if we-agree fine or in-no-way shameful to-be-legislated
τὰ νῦν, τί μέρος ἡμῖν συμβάλλοιτ' ἂν πρὸς ἀρετήν; πότερον
the now what part for-us would-contribute — toward virtue whether
ἐν τῇ τοῦ πεισθέντος ψυχῇ γιγνόμενον ἐμφύσεται τὸ τῆς
in the of-the persuaded soul coming-about will-grow-in the of-the
ἀνδρείας ἦθος, ἢ ἐν τῇ τοῦ πείσαντος τὸ τῆς σώφρονος
courage character or in the of-the having-persuaded the of-the temperate
ἰδέας γένος; ἢ ταῦτα μὲν οὐδεὶς ἂν πεισθείη ποτέ,
form kind or these-things indeed no-one — would-be-persuaded ever
μᾶλλον δὲ ἅπαν τούτου τοὐναντίον, τοῦ μὲν ταῖς ἡδοναῖς
rather and all of-this the-opposite of-the indeed to-the pleasures
ὑπείκοντος καὶ καρτερεῖν οὐ δυναμένου ψέξει πᾶς τὴν
yielding and to-endure not able will-blame every-one the
μαλακίαν, τοῦ δ' εἰς μίμησιν τοῦ θήλεος ἰόντος τὴν τῆς
softness of-the and to imitation of-the female going the of-the
εἰκόνος ὁμοιότητα ἆρ' οὐ μέμψεται; τίς οὖν ἀνθρώπων
likeness similarity then not will-blame who then of-men
τοῦτο ὂν τοιοῦτον νομοθετήσει; σχεδὸν οὐδείς, ἔχων γε
this being such will-legislate nearly no-one having at-least
ἐν τῷ νῷ νόμον ἀληθῆ. πῶς οὖν φαμεν ἀληθὲς τοῦτο εἶναι;
in the mind law true how then do-we-say true this to-be

Friendship joins like to like or the needy to the rich, and either grown intense is called love; a third kind mixes both. A lover of the body is hungry for the bloom and cares nothing for the soul; a lover of the soul wants the beloved to be chaste, and only his love should be kept, as Megillus agrees. The way to enforce chastity is shown by incest: a single sacred voice in every story and play makes men shrink from it without a written law. The Athenian proposes the same voice against intercourse with males and against sowing seed where it cannot grow. Lusty young men will call this impossible, so he begins a persuasive argument from bodily fitness.

ATH. τὴν τῆς φιλίας τε καὶ ἐπιθυμίας ἅμα καὶ τῶν 837
the of-the friendship both and of-desire at-once and of-the
λεγομένων ἐρώτων φύσιν ἰδεῖν ἀναγκαῖον, εἰ μέλλει τις
so-called loves nature to-see necessary if is-to anyone
ταῦτα ὀρθῶς διανοηθήσεσθαι· δύο γὰρ ὄντα αὐτά, καὶ
these-things rightly to-think two for being they and
ἐξ ἀμφοῖν τρίτον ἄλλο εἶδος, ἓν ὄνομα περιλαβὸν πᾶσαν
from both third other kind one name having-embraced all
ἀπορίαν καὶ σκότον ἀπεργάζεται.
perplexity and darkness produces

CLIN. πῶς;
how

ATH. φίλον μέν που καλοῦμεν ὅμοιον ὁμοίῳ κατ' ἀρετὴν
friend indeed surely we-call like to-like in virtue
καὶ ἴσον ἴσῳ, φίλον δ' αὖ καὶ τὸ δεόμενον τοῦ
and equal to-equal friend and again also the needing of-the
πεπλουτηκότος, ἐναντίον ὂν τῷ γένει· ὅταν δὲ ἑκάτερον
having-grown-rich opposite being in-the kind whenever and each
γίγνηται σφοδρόν, ἔρωτα ἐπονομάζομεν.
becomes intense love we-name

CLIN. ὀρθῶς. b
rightly

c ATH. φιλία τοίνυν ἡ μὲν ἀπὸ ἐναντίων δεινὴ καὶ ἀγρία
friendship then the(-one) indeed from opposites terrible and savage
καὶ τὸ κοινὸν οὐ πολλάκις ἔχουσα ἐν ἡμῖν, ἡ δ' ἐκ
and the common not often having in us the(-other) and from
τῶν ὁμοίων ἥμερός τε καὶ κοινὴ διὰ βίου· μεικτὴ δὲ ἐκ
the like gentle both and common through life mixed and from
τούτων γενομένη πρῶτον μὲν καταμαθεῖν οὐ ῥᾳδία, τί
these having-become first indeed to-learn not easy what
ποτε βούλοιτ' ἂν αὑτῷ γενέσθαι τὸν τρίτον ἔρωτά τις
ever would-wish — for-himself to-become the third love anyone
ἔχων τοῦτον, ἔπειτα εἰς τοὐναντίον ὑπ' ἀμφοῖν ἑλκόμενος
having this then to the-opposite by both being-dragged
ἀπορεῖ, τοῦ μὲν κελεύοντος τῆς ὥρας ἅπτεσθαι,
is-at-a-loss of-the(-one) indeed bidding the bloom to-touch
τοῦ δὲ ἀπαγορεύοντος. ὁ μὲν γὰρ τοῦ σώματος
of-the(-other) and forbidding the(-one) indeed for of-the body
ἐρῶν, καὶ τῆς ὥρας καθάπερ ὀπώρας πεινῶν, ἐμπλησθῆναι
loving and of-the bloom as of-ripe-fruit hungering to-be-filled
παρακελεύεται ἑαυτῷ, τιμὴν οὐδεμίαν ἀπονέμων τῷ τῆς
urges himself honor none assigning to-the of-the
ψυχῆς ἤθει τοῦ ἐρωμένου· ὁ δὲ πάρεργον μὲν
soul character of-the beloved the(-other) and as-a-side-matter indeed
τὴν τοῦ σώματος ἐπιθυμίαν ἔχων, ὁρῶν δὲ μᾶλλον ἢ
the of-the body desire having seeing and rather than
ἐρῶν, τῇ ψυχῇ δὲ ὄντως τῆς ψυχῆς ἐπιτεθυμηκώς,
loving with-the soul and really the soul having-desired
ὕβριν ἥγηται τὴν περὶ τὸ σῶμα τοῦ σώματος πλησμονήν,
insolence considers the about the body of-the body satiety
τὸ σῶφρον δὲ καὶ ἀνδρεῖον καὶ μεγαλοπρεπὲς καὶ τὸ
the temperate and and brave and magnificent and the
φρόνιμον αἰδούμενος ἅμα καὶ σεβόμενος, ἁγνεύειν ἀεὶ
prudent revering at-once and worshiping to-be-chaste always

μεθ' ἁγνεύοντος τοῦ ἐρωμένου βούλοιτ' ἄν· ὁ δὲ μειχθεὶς
with chaste the beloved would-wish — the and mixed
ἐξ ἀμφοῖν τρίτος ἔρως οὗτός ἐσθ' ὃν νῦν διεληλύθαμεν
from both third love this-one is which now we-have-gone-through
ὡς τρίτον. ὄντων δὲ τούτων τοσούτων, πότερον ἅπαντας
as third being and these so-many whether all
δεῖ κωλύειν τὸν νόμον, ἀπείργοντα μὴ γίγνεσθαι ἐν
one-must to-prevent the law excluding not to-come-about among
ἡμῖν, ἢ δῆλον ὅτι τὸν μὲν ἀρετῆς ὄντα καὶ τὸν νέον
us or clear that the indeed of-virtue being and the young
ἐπιθυμοῦντα ὡς ἄριστον γίγνεσθαι βουλοίμεθ' ἂν ἡμῖν
desiring as best to-become we-would-wish — for-us
ἐν τῇ πόλει ἐνεῖναι, τοὺς δὲ δύο, εἰ δυνατὸν εἴη,
in the city to-be-in the and two if possible it-should-be
κωλύοιμεν ἄν; ἢ πῶς λέγομεν, ὦ φίλε Μέγιλλε;
we-would-prevent — or how do-we-say O friend Megillus
MEG. πάντῃ τοι καλῶς, ὦ ξένε, περὶ αὐτῶν τούτων e
in-every-way surely finely O stranger about them these
εἴρηκας τὰ νῦν.
you-have-spoken the now
ATH. ἔοικά γε, ὅπερ καὶ ἐτόπαζον, τυχεῖν τῆς σῆς, ὦ φίλε,
I-seem at-least which-very also I-guessed to-obtain the your O friend
συνῳδίας· τὸν δὲ νόμον ὑμῶν, ὅτι νοεῖ περὶ τὰ τοιαῦτα, οὐδέν
agreement the and law of-you what thinks about the such-things nothing
με ἐξετάζειν δεῖ, δέχεσθαι δὲ τὴν τῷ λόγῳ συγχώρησιν.
me to-examine one-must to-accept and the in-the argument concession
Κλεινίᾳ δὲ μετὰ ταῦτα καὶ εἰς αὖθις περὶ αὐτῶν τούτων
to-Clinias and after these-things also into again about them these
πειράσομαι ἐπᾴδων πείθειν. τὸ δέ μοι δεδομένον ὑπὸ
I-shall-try charming to-persuade the and to-me granted by
σφῷν ἴτω, καὶ διεξέλθωμεν πάντως τοὺς νόμους.
you-two let-it-go and let-us-go-through altogether the laws

MEG. ὀρθότατα λέγεις.
most-rightly you-speak

838 ATH. τέχνην δή τιν᾽ αὖ τούτου τοῦ νόμου τῆς θέσεως
art indeed some again of-this the law of-the setting
ἐν τῷ νῦν παρόντι τὴν μὲν ῥᾳδίαν ἔχω, τὴν δ᾽
in the now present the(-one) indeed easy I-have the(-other) and
αὖ τινα τρόπον παντάπασιν ὡς οἷόν τε χαλεπωτάτην.
again in-some way altogether as possible — most-difficult
MEG. πῶς δὴ λέγεις;
how indeed do-you-mean
ATH. ἴσμεν που καὶ τὰ νῦν τοὺς πλείστους τῶν ἀνθρώπων,
we-know surely also the now the most of-the men
καίπερ παρανόμους ὄντας, ὡς εὖ τε καὶ ἀκριβῶς
although lawless being how well both and exactly
εἴργονται τῆς τῶν καλῶν συνουσίας οὐκ ἄκοντες, ὡς
they-are-kept-from the of-the beautiful intercourse not unwillingly as
οἷόν τε δὲ μάλιστα ἑκόντες.
possible — and most willingly
MEG. πότε λέγεις;
when do-you-mean

b ATH. ὅταν ἀδελφὸς ἢ ἀδελφὴ τῳ γένωνται καλοί. καὶ
whenever brother or sister to-anyone be beautiful and
περὶ υἱέος ἢ θυγατρὸς ὁ αὐτὸς νόμος ἄγραφος ὢν ὡς
about son or daughter the same law unwritten being as
οἷόν τε ἱκανώτατα φυλάττει μήτε φανερῶς μήτε λάθρᾳ
possible — most-sufficiently guards neither openly nor secretly
συγκαθεύδοντα ἤ πως ἄλλως ἀσπαζόμενον ἅπτεσθαι
sleeping-with or somehow otherwise embracing to-touch
τούτων· ἀλλ᾽ οὐδ᾽ ἐπιθυμία ταύτης τῆς συνουσίας τὸ
these but not-even desire of-this the intercourse the
παράπαν εἰσέρχεται τοὺς πολλούς.
altogether enters the many

MEG. ἀληθῆ λέγεις.
true-things you-say

ATH. οὐκοῦν σμικρὸν ῥῆμα κατασβέννυσι πάσας τὰς
therefore small word quenches all the
τοιαύτας ἡδονάς;
such pleasures

MEG. τὸ ποῖον δὴ λέγεις;
the what-sort indeed do-you-mean

ATH. τὸ ταῦτα εἶναι φάναι μηδαμῶς ὅσια, θεομισῆ δὲ καὶ c
the these-things to-be to-say in-no-way holy god-hated and and
αἰσχρῶν αἴσχιστα. τὸ δ' αἴτιον ἆρ' οὐ τοῦτ' ἐστί, τὸ
of-shameful-things most-shameful the and cause then not this is the
μηδένα ἄλλως λέγειν αὐτά, ἀλλ' εὐθὺς γενόμενον ἡμῶν
no-one otherwise to-speak-of them but at-once born of-us
ἕκαστον ἀκούειν τε λεγόντων ἀεὶ καὶ πανταχοῦ ταῦτα,
each to-hear both saying always and everywhere these-things
ἐν γελοίοις τε ἅμα ἐν πάσῃ τε σπουδῇ τραγικῇ λεγομένῃ
in comedies both at-once in all both earnestness tragic spoken
πολλάκις, ὅταν ἢ Θυέστας ἤ τινας Οἰδίποδας εἰσάγωσιν,
often whenever either Thyesteses or some Oedipuses they-bring-on
ἢ Μακαρέας τινὰς ἀδελφαῖς μειχθέντας λαθραίως, ὀφθέντας
or Macareuses some with-sisters having-mingled secretly having-been-seen
δὲ ἑτοίμως θάνατον αὑτοῖς ἐπιτιθέντας δίκην τῆς ἁμαρτίας;
and readily death on-themselves inflicting penalty of-the sin

MEG. ὀρθότατα λέγεις τό γε τοσοῦτον, ὅτι τὸ τῆς φήμης d
most-rightly you-say the at-least so-much that the of-the report
θαυμαστήν τινα δύναμιν εἴληχεν, ὅταν μηδεὶς μηδαμῶς
wonderful some power has-obtained whenever no-one in-no-way
ἄλλως ἀναπνεῖν ἐπιχειρήσῃ ποτὲ παρὰ τὸν νόμον.
otherwise to-breathe attempts ever against the law

e ATH. οὐκοῦν ὀρθὸν τὸ νυνδὴ ῥηθέν, ὅτι νομοθέτῃ, βουλομένῳ
therefore right the just-now said that for-lawgiver wishing
τινὰ ἐπιθυμίαν δουλώσασθαι τῶν διαφερόντως τοὺς
some desire to-enslave of-the exceptionally the
ἀνθρώπους δουλουμένων, ῥᾴδιον γνῶναί γε ὅντινα
men enslaving easy to-know at-least in-what
τρόπον χειρώσαιτο ἄν· ὅτι καθιερώσας ταύτην τὴν φήμην
way he-might-master — that having-consecrated this the report
παρὰ πᾶσι, δούλοις τε καὶ ἐλευθέροις καὶ παισὶ καὶ
among all slaves both and free and children and
γυναιξὶ καὶ ὅλῃ τῇ πόλει κατὰ τὰ αὐτά, οὕτω τὸ
women and whole the city according-to the same-things so the
βεβαιότατον ἀπειργασμένος ἔσται περὶ τοῦτον τὸν νόμον.
most-secure having-produced he-will-be about this the law
MEG. πάνυ μὲν οὖν· ὅπως δὲ αὖ τὸ τοιοῦτον ἐθέλοντας
certainly indeed then how and again the such willing
λέγειν πάντας δυνατὸν ἔσται ποτὲ παρασχεῖν —
to-say all possible it-will-be ever to-provide
839 ATH. καλῶς ὑπέλαβες· αὐτὸ γὰρ τοῦτο ἦν τὸ παρ' ἐμοῦ
well you-took-it-up very for this was the from me
λεχθέν, ὅτι τέχνην ἐγὼ πρὸς τοῦτον τὸν νόμον ἔχοιμι τοῦ
said that art I for this the law might-have of-the
κατὰ φύσιν χρῆσθαι τῇ τῆς παιδογονίας συνουσίᾳ, τοῦ
according-to nature to-use the of-the child-begetting intercourse of-the
μὲν ἄρρενος ἀπεχομένους, μὴ κτείνοντάς τε ἐκ προνοίας
indeed male abstaining not killing both by design
τὸ τῶν ἀνθρώπων γένος, μηδ' εἰς πέτρας τε καὶ λίθους
the of-the men race nor on rocks both and stones
σπείροντας, οὗ μήποτε φύσιν τὴν αὑτοῦ ῥιζωθὲν
sowing where never nature the of-itself having-taken-root
λήψεται γόνιμον, ἀπεχομένους δὲ ἀρούρας θηλείας πάσης
will-take fruitful abstaining and from-field female all

ἐν ᾗ μὴ βούλοιο ἄν σοι φύεσθαι τὸ σπαρέν. ὁ δὴ
in which not you-would-wish — for-you to-grow the sown the indeed
νόμος οὗτος διηνεκὴς μὲν γενόμενος ἅμα καὶ κρατήσας,
law this continuous indeed having-become at-once and having-prevailed
καθάπερ νῦν περὶ τὰς τῶν γονέων συμμείξεις κρατεῖ, ἐὰν
as now about the of-the parents unions it-prevails if
καὶ περὶ τὰς ἄλλας νικήσῃ δικαίως, μυρία ἀγαθὰ ἔχει.
also about the others it-win justly countless goods it-has
κατὰ φύσιν μὲν γὰρ πρῶτον κεῖται, λύττης δὲ ἐρωτικῆς
according-to nature indeed for first it-lies from-frenzy and erotic
καὶ μανίας καὶ μοιχειῶν πασῶν καὶ πωμάτων καὶ σίτων
and madness and adulteries all and drinks and foods
εἴργεσθαι ποιεῖ τῶν ἀμέτρων πάντων, γυναιξί τε αὑτῶν
to-be-kept makes of-the immoderate all with-wives both of-themselves
οἰκείους εἶναι φίλους· ἄλλα τε πάμπολλα ἀγαθὰ γίγνοιτ'
familiar to-be dear other both very-many goods would-come-about
ἄν, εἰ τοῦ νόμου τις τούτου δύναιτο ἐγκρατὴς εἶναι.
— if of-the law anyone this should-be-able master to-be
τάχα δ' ἂν ἡμῖν τις παραστὰς ἀνὴρ σφοδρὸς καὶ νέος, c
perhaps and — for-us someone standing-by man vehement and young
πολλοῦ σπέρματος μεστός, ἀκούων τιθεμένου τοῦ νόμου
of-much seed full hearing being-set the law
λοιδορήσειεν ἂν ὡς ἀνόητα καὶ ἀδύνατα τιθέντων νόμιμα,
would-revile — as foolish and impossible setting customs
καὶ βοῆς πάντα ἐμπλήσειε· πρὸς ἃ δὴ καὶ
and with-shouting all would-fill toward which-things indeed also
βλέψας ἐγὼ τοῦτο εἶπον τὸ ῥῆμα, ὥς τινα τέχνην κεκτήμην,
having-looked I this said the word that some art I-had
τῇ μὲν ῥᾴστην ἁπασῶν, τῇ δὲ χαλεπωτάτην,
in-one-way indeed easiest of-all in-another and most-difficult
πρὸς τὸ τοῦτον τεθέντα ἐμμεῖναι τὸν νόμον. νοῆσαι μὲν
for the this set to-remain the law to-conceive indeed

γὰρ δὴ ῥᾷστον ὡς δυνατόν τέ ἐστιν καὶ ὅπῃ — φαμὲν
for indeed easiest that possible both it-is and how we-say
γὰρ δὴ καθιερωθὲν τοῦτο ἱκανῶς τὸ νόμιμον πᾶσαν ψυχὴν
for indeed consecrated this sufficiently the custom every soul
δουλώσεσθαι καὶ παντάπασιν μετὰ φόβου ποιήσειν πείθεσθαι
will-enslave and altogether with fear will-make to-obey
τοῖς τεθεῖσιν νόμοις — ἀλλὰ γὰρ εἰς τοῦτο προβέβηκε
the set laws but for to this it-has-advanced
νῦν, ὥστ᾽ οὐδ᾽ ἂν τότε γενέσθαι δοκεῖ, καθάπερ τὸ τῶν
now so-that not-even — then to-come-about it-seems as the of-the
συσσιτίων ἐπιτήδευμα ἀπιστεῖται μὴ δυνατὸν εἶναι δύνασθαι
common-messes practice is-distrusted not possible to-be to-be-able
διὰ βίου πόλιν ὅλην ζῆν πράττουσαν τοῦτο, ἐλεγχθὲν δ᾽
through life city whole to-live doing this refuted and
ἔργῳ καὶ γενόμενον παρ᾽ ὑμῖν, ὅμως ἔτι τό γε γυναικῶν
in-deed and having-happened among you nevertheless still the at-least of-women
οὐδὲ ἐν ταῖς ὑμετέραις πόλεσιν δοκεῖ φύσιν ἔχειν γίγνεσθαι.
not-even in the your cities seems nature to-have to-come-about
ταύτῃ δ᾽ αὖ, διὰ τὴν τῆς ἀπιστίας ῥώμην, εἴρηκα
in-this-way and again because-of the of-the distrust strength I-have-said
ἀμφότερα ταῦτα εἶναι παγχάλεπα μεῖναι κατὰ νόμον.
both these-things to-be very-hard to-remain according-to law

MEG. ὀρθῶς γε σὺ λέγων.
rightly at-least you speaking

ATH. ὡς δ᾽ οὖν οὐκ ἔστιν ὑπὲρ ἄνθρωπον, οἷόν τε δὲ
as and then not it-is beyond man possible — and
γενέσθαι, βούλεσθε ὑμῖν πειραθῶ τινα λόγον ἐχόμενον
to-come-about you-wish for-you I-should-try some argument holding
πιθανότητος εἰπεῖν τινος;
of-persuasiveness to-say some

CLIN. πῶς γὰρ οὔ;
how for not

ATH. πότερον οὖν τις ἀφροδισίων ῥᾷον ἂν ἀπέχοιτο, e
whether then anyone from-sexual-things more-easily — would-abstain
καὶ τὸ ταχθὲν ἐθέλοι περὶ αὐτὰ μετρίως ποιεῖν, εὖ τὸ
and the ordered would-wish about them moderately to-do well the
σῶμα ἔχων καὶ μὴ ἰδιωτικῶς, ἢ φαύλως;
body having and not like-a-layman or poorly
CLIN. πολύ που μᾶλλον μὴ ἰδιωτικῶς.
much surely more not like-a-layman

V · THE VICTORY OVER PLEASURE, AND THE LAWS OF FARMING

Iccus of Tarentum and other athletes abstained from women for an Olympic crown; the young can abstain for a nobler victory over pleasure. The first law asks the citizens to be no worse than birds, which mate in pairs and stay faithful. If that fails, a second law makes it honorable to keep such acts hidden and shameful to be found out, and perhaps forbids touching any woman but one's wedded wife, or at least bars all relations with males and dishonors whoever is detected with another woman. Megillus accepts it. The common meals are settled, and the agricultural laws begin.

ATH. ἆρ' οὖν οὐκ ἴσμεν τὸν Ταραντῖνον Ἴκκον ἀκοῇ 840
so then not do-we-know the Tarentine Iccus by-hearsay
διὰ τὸν Ὀλυμπίασί τε ἀγῶνα καὶ τούς γε ἄλλους;
because-of the at-Olympia both contest and the at-least others
ὧν διὰ φιλονικίαν, καὶ τέχνην καὶ τὸ μετὰ τοῦ
of-whom through love-of-victory and art and the with the
σωφρονεῖν ἀνδρεῖον ἐν τῇ ψυχῇ κεκτημένος, ὡς λόγος,
to-be-temperate courage in the soul having-acquired as story
οὔτε τινὸς πώποτε γυναικὸς ἥψατο οὐδ' αὖ παιδὸς
neither any ever woman he-touched nor again boy
ἐν ὅλῃ τῇ τῆς ἀσκήσεως ἀκμῇ· καὶ δὴ καὶ Κρίσωνα
in whole the of-the training prime and indeed also Crison

καὶ Ἀστύλον καὶ Διόπομπον καὶ ἄλλους παμπόλλους ὁ
and Astylus and Diopompus and others very-many the
αὐτός που λόγος ἔχει. καίτοι τῶν γ᾽ ἐμῶν καὶ σῶν
same surely story holds and-yet than-the at-least my and your
πολιτῶν, ὦ Κλεινία, πολὺ κάκιον ἦσαν πεπαιδευμένοι
citizens O Clinias much worse they-were educated
τὰς ψυχάς, τὰ δὲ σώματα πολὺ μᾶλλον σφριγῶντες.
the souls the and bodies much more swelling-with-vigor

CLIN. ἀληθῆ ταῦτα λέγεις ὅτι σφόδρα ὑπὸ τῶν παλαιῶν
true-things these-things you-say that very by the ancients
ἐστιν εἰρημένα περὶ τούτων τῶν ἀθλητῶν ὡς ὄντως ποτὲ
it-is said about these the athletes as really once
γενόμενα.
having-happened

c ATH. τί οὖν; οἱ μὲν ἄρα νίκης ἕνεκα πάλης καὶ
what then the(-ones) indeed then of-victory for-the-sake of-wrestling and
δρόμων καὶ τῶν τοιούτων ἐτόλμησαν ἀπέχεσθαι λεγομένου
of-races and of-the such-things dared to-abstain said
πράγματος ὑπὸ τῶν πολλῶν εὐδαίμονος, οἱ δὲ
thing by the many happy the(-others) and
ἡμέτεροι παῖδες ἀδυνατήσουσι καρτερεῖν πολὺ καλλίονος
our children will-be-unable to-endure much finer
ἕνεκα νίκης, ἣν ἡμεῖς καλλίστην ἐκ παίδων πρὸς
for-the-sake of-victory which we finest from childhood to
αὐτοὺς λέγοντες ἐν μύθοις τε καὶ ἐν ῥήμασιν καὶ ἐν
them saying in tales both and in words and in
μέλεσιν ᾄδοντες, ὡς εἰκός, κηλήσομεν;
melodies singing as likely we-shall-charm

CLIN. ποίας;
what-sort

ATH. τῆς τῶν ἡδονῶν νίκης ἐγκρατεῖς ὄντας ἂν ζῆν
the of-the pleasures victory masters being — to-live
εὐδαιμόνως, ἡττωμένους δὲ τοὐναντίον ἅπαν. πρὸς δὲ
happily being-defeated and the-opposite all besides and
τούτοις ἔτι φόβος ὁ τοῦ μηδαμῇ μηδαμῶς ὅσιον αὐτὸ
these still fear the of-the in-no-way in-no-way holy it
εἶναι δύναμιν ἡμῖν οὐκ ἄρα ἕξει κρατεῖν ὧν ἄλλοι
to-be power for-us not then will-it-have to-master of-which others
κεκρατήκασι τούτων ὄντες χείρονες;
have-mastered than-these being worse
CLIN. εἰκὸς γοῦν.
likely at-any-rate
ATH. ἐπειδὴ τοίνυν ἐνταῦθά ἐσμεν τούτου τοῦ νομίμου πέρι, d
since then here we-are of-this the custom about
διὰ κάκην δὲ τὴν τῶν πολλῶν εἰς ἀπορίαν ἐπέσομεν,
through badness and the of-the many into perplexity we-have-fallen
φημὶ τὸ μὲν ἡμέτερον νόμιμον ἀτεχνῶς δεῖν περὶ
I-say the indeed our custom simply to-be-necessary about
αὐτῶν τούτων πορεύεσθαι λέγον ὡς οὐ δεῖ χείρους ἡμῖν
them these to-proceed saying that not one-must worse for-us
εἶναι τοὺς πολίτας ὀρνίθων καὶ ἄλλων θηρίων πολλῶν, οἳ
to-be the citizens than-birds and other beasts many which
κατὰ μεγάλας ἀγέλας γεννηθέντες, μέχρι μὲν παιδογονίας
in great herds born up-to indeed child-begetting
ἠίθεοι καὶ ἀκήρατοι γάμων τε ἁγνοὶ ζῶσιν, ὅταν δ’
unmarried and untouched of-marriages both pure live when and
εἰς τοῦτο ἡλικίας ἔλθωσι, συνδυασθέντες ἄρρην θηλείᾳ
into this of-age they-come having-paired male with-female
κατὰ χάριν καὶ θήλεια ἄρρενι, τὸν λοιπὸν χρόνον ὁσίως
by favor and female with-male the rest time piously
καὶ δικαίως ζῶσιν, ἐμμένοντες βεβαίως ταῖς πρώταις τῆς
and justly live abiding firmly by-the first of-the

φιλίας ὁμολογίαις· δεῖν δὴ θηρίων γε αὐτοὺς
friendship agreements to-be-necessary indeed than-beasts at-least them
ἀμείνους εἶναι. ἐὰν δ' οὖν ὑπὸ τῶν ἄλλων Ἑλλήνων καὶ
better to-be if and then by the other Greeks and
βαρβάρων τῶν πλείστων διαφθείρωνται, τὴν λεγομένην
barbarians the most they-be-corrupted the so-called
ἄτακτον Ἀφροδίτην ἐν αὐτοῖς ὁρῶντές τε καὶ ἀκούοντες
disorderly Aphrodite among them seeing both and hearing
μέγιστον δυναμένην, καὶ οὕτω δὴ μὴ δυνατοὶ γίγνωνται
greatest having-power and so indeed not able they-become
κατακρατεῖν, δεύτερον νόμον ἐπ' αὐτοῖς μηχανᾶσθαι
to-master second law against them to-contrive
χρὴ τοὺς νομοφύλακας νομοθέτας γενομένους.
one-must the law-guardians lawgivers having-become

841 CLIN. τίνα δὴ συμβουλεύεις αὐτοῖς τίθεσθαι νόμον, ἐὰν ὁ
what indeed do-you-advise to-them to-set law if the
νῦν τιθέμενος αὐτοὺς ἐκφύγῃ;
now being-set them escape

ATH. δῆλον ὅτι τὸν ἐχόμενον τούτου δεύτερον, ὦ Κλεινία.
clear that the next to-this second O Clinias

CLIN. τίνα λέγεις;
what do-you-mean

b ATH. ἀγύμναστον ὅτι μάλιστα ποιεῖν τὴν τῶν ἡδονῶν ῥώμην
unexercised as most to-make the of-the pleasures strength
ἦν, τὴν ἐπίχυσιν καὶ τροφὴν αὐτῆς διὰ πόνων ἄλλοσε
it-was the influx and nourishment of-it through toils elsewhere
τρέποντα τοῦ σώματος. εἴη δ' ἂν τοῦτο, εἰ ἀναίδεια μὴ
turning of-the body would-be and — this if shamelessness not
ἐνείη τῇ τῶν ἀφροδισίων χρήσει· σπανίῳ γὰρ αὖ τῷ
should-be-in to-the of-the sexual-things use rare for again the
τοιούτῳ δι' αἰσχύνην χρώμενοι, ἀσθενεστέραν ἂν αὐτὴν
such through shame using weaker — it

δέσποιναν κτῷντο ὀλιγάκις χρώμενοι. τὸ δὴ λανθάνειν
mistress they-would-acquire seldom using the indeed to-escape-notice
τούτων δρῶντά τι καλὸν παρ᾽ αὐτοῖς ἔστω, νόμιμον
of-these doing something fine among them let-be customary
ἔθει καὶ ἀγράφῳ νομισθὲν νόμῳ, τὸ δὲ μὴ λανθάνειν
by-habit and by-unwritten considered law the and not to-escape-notice
αἰσχρόν, ἀλλ᾽ οὐ τὸ μὴ πάντως δρᾶν. οὕτω τοῦτο αἰσχρὸν
shameful but not the not altogether to-do so this shameful
αὖ καὶ καλὸν δευτέρως ἂν ἡμῖν ἐν νόμῳ γενόμενον κέοιτο,
again and fine second — for-us in law having-become would-lie
ὀρθότητα ἔχον δευτέραν, καὶ τοὺς τὰς φύσεις διεφθαρμένους,
rightness having second and the the natures corrupted
οὓς ἥττους αὑτῶν προσαγορεύομεν, ἓν γένος ὄν,
whom weaker than-themselves we-call one kind being
περιλαβόντα τρία γένη βιάζοιτ᾽ ἂν μὴ παρανομεῖν.
having-embraced three kinds would-compel — not to-break-the-law

CLIN. ποῖα δή;
what-sort indeed

ATH. τό τε θεοσεβὲς ἅμα καὶ φιλότιμον καὶ τὸ μὴ τῶν d
the both god-fearing at-once and ambitious and the not of-the
σωμάτων ἀλλὰ τῶν τρόπων τῆς ψυχῆς ὄντων καλῶν
bodies but of-the ways of-the soul being fine
γεγονὸς ἐν ἐπιθυμίᾳ. ταῦτα δὴ καθάπερ ἴσως ἐν μύθῳ
having-come-about in desire these-things indeed as perhaps in tale
τὰ νῦν λεγόμεν᾽ ἐστὶν εὐχαί, πολύ γε μὴν ἄριστα,
the-things now said are prayers by-far at-least indeed best
εἴπερ γίγνοιτο, ἐν πάσαις πόλεσι γίγνοιτο ἄν.
if-indeed they-should-come-about in all cities would-come-about —
τάχα δ᾽ ἄν, εἰ θεὸς ἐθέλοι, κἂν δυοῖν θάτερα βιασαίμεθα
perhaps and — if god should-wish even of-two the-one we-might-compel
περὶ ἐρωτικῶν, ἢ μηδένα τολμᾶν μηδενὸς ἅπτεσθαι
about erotic-things either no-one to-dare no-one to-touch

τῶν γενναίων ἅμα καὶ ἐλευθέρων πλὴν γαμετῆς ἑαυτοῦ
of-the noble at-once and free except wedded of-himself
γυναικός, ἄθυτα δὲ παλλακῶν σπέρματα καὶ νόθα μὴ
wife unhallowed and of-concubines seeds and bastard not
σπείρειν, μηδὲ ἄγονα ἀρρένων παρὰ φύσιν· ἢ τὸ μὲν τῶν
to-sow nor barren of-males against nature or the indeed of-the
ἀρρένων πάμπαν ἀφελοίμεθ' ἄν, τὸ δὲ γυναικῶν, εἴ τις
males altogether we-might-take-away — the and of-women if anyone
συγγίγνοιτό τινι πλὴν ταῖς μετὰ θεῶν καὶ ἱερῶν γάμων
should-have-intercourse with-any except the with gods and sacred marriages
ἐλθούσαις εἰς τὴν οἰκίαν, ὠνηταῖς εἴτε ἄλλῳ ὁτῳοῦν τρόπῳ
having-come into the house bought or by-other any-whatever way
κτηταῖς, μὴ λανθάνων ἄνδρας τε καὶ γυναῖκας πάσας, τάχ'
acquired not escaping-notice men both and women all perhaps
ἂν ἄτιμον αὐτὸν τῶν ἐν τῇ πόλει ἐπαίνων νομοθετοῦντες
— without-honor him of-the in the city praises legislating
ὀρθῶς ἂν δόξαιμεν νομοθετεῖν, ὡς ὄντως ὄντα ξενικόν.
rightly — we-would-seem to-legislate as really being foreign
842 οὗτος δὴ νόμος, εἴτε εἷς εἴτε δύο αὐτοὺς χρὴ
this indeed law whether one or two them one-must
προσαγορεύειν, κείσθω περὶ ἀφροδισίων καὶ ἁπάντων τῶν
to-call let-it-lie about sexual-things and all the
ἐρωτικῶν, ὅσα πρὸς ἀλλήλους διὰ τὰς τοιαύτας
erotic-things as-many-as toward one-another because-of the such
ἐπιθυμίας ὁμιλοῦντες ὀρθῶς τε καὶ οὐκ ὀρθῶς πράττομεν.
desires associating rightly both and not rightly we-do
MEG. καὶ τοίνυν, ὦ ξένε, ἐγὼ μέν σοι σφόδρα δεχοίμην
and then O stranger I indeed from-you very would-accept
ἂν τοῦτον τὸν νόμον, ὁ δὲ δὴ Κλεινίας αὐτὸς φραζέτω
— this the law the and indeed Clinias himself let-declare
τί ποτε περὶ αὐτῶν διανοεῖται.
what ever about them he-thinks

CLIN. ἔσται ταῦτα, ὦ Μέγιλλε, ὁπόταν γε δή μοι
it-will-be these-things O Megillus whenever at-least indeed to-me
δόξῃ τις παραπεπτωκέναι καιρός· νῦν μὴν ἐῶμεν τὸν
it-seem some to-have-fallen-in opportunity now indeed let-us-allow the
ξένον ἔτι εἰς τὸ πρόσθεν προϊέναι τῶν νόμων.
stranger still into the forward to-advance of-the laws
MEG. ὀρθῶς.
rightly
ATH. ἀλλὰ μὴν νῦν γε προϊόντες ἤδη σχεδόν ἐσμεν b
but indeed now at-least advancing already nearly we-are
ἐν τῷ κατεσκευάσθαι μὲν συσσίτια — ὅ φαμεν ἄλλοθι
in the to-have-been-arranged indeed common-messes which we-say elsewhere
μὲν ἂν χαλεπὸν εἶναι, ἐν Κρήτῃ δὲ οὐδεὶς ἄλλως ἂν
indeed — hard to-be in Crete and no-one otherwise —
ὑπολάβοι δεῖν γίγνεσθαι — τὸ δὲ τίνα τρόπον,
would-suppose to-be-necessary to-come-about the and in-what way
πότερον ὡς ἐνθάδε ἢ καθάπερ ἐν Λακεδαίμονι, ἢ παρὰ
whether as here or as in Lacedaemon or besides
ταῦτα ἔστιν τι τρίτον εἶδος συσσιτίων ἀμφοῖν τούτοιν
these is some third kind of-common-messes than-both these
ἄμεινον ἂν ἔχον, τοῦτο οὔτ' ἐξευρεῖν μοι χαλεπὸν εἶναι
better — being this neither to-find for-me hard to-be
δοκεῖ, μέγα τε ἀγαθὸν εὑρεθὲν οὐδὲν ἀπεργάσεσθαι· καὶ
seems great both good found nothing to-accomplish and
γὰρ νῦν ἐμμελῶς ἔχειν κατεσκευασμένα.
for now harmoniously to-be arranged
τούτοις δ' ἐστὶν ἀκόλουθον ἡ τοῦ βίου κατασκευή, τίν' c
to-these and is following the of-the life arrangement in-what
αὐτοῖς ἂν τρόπον ἕποιτο. βίος δὴ ἄλλαις μὲν πόλεσιν
for-them — way it-would-follow life indeed for-other indeed cities
παντοδαπῶς ἂν καὶ πολλαχόθεν εἴη, μάλιστα δὲ ἐκ
in-all-ways — and from-many-sources would-be most and from

διπλασίων ἢ τούτοις· ἐκ γῆς γὰρ καὶ ἐκ θαλάττης
double than for-these from land for and from sea
τοῖς πλείστοις τῶν Ἑλλήνων ἐστὶ κατεσκευασμένα τὰ
for-the most of-the Greeks are provided the-things
περὶ τὴν τροφήν, τούτοις δὲ μόνον ἐκ γῆς. τῷ μὲν οὖν
about the nourishment for-these and only from land for-the indeed then
νομοθέτῃ τοῦτο ῥᾷον· οὐ γὰρ μόνον ἡμίσεις αὖ γίγνονται
lawgiver this easier not for only half again become
νόμοι μέτριοι, πολὺ δ' ἐλάττους, ἔτι δ' ἐλευθέροις
laws moderate by-far and fewer still and for-free
ἀνθρώποις μᾶλλον πρέποντες. ναυκληρικῶν μὲν γὰρ
men more fitting of-shipowning indeed for
καὶ ἐμπορικῶν καὶ καπηλευτικῶν καὶ πανδοκεύσεων καὶ
and of-trading and of-retailing and of-innkeepings and
τελωνικῶν καὶ μεταλλειῶν καὶ δανεισμῶν καὶ ἐπιτόκων
of-tax-farming and of-minings and of-lendings and of-interest-bearing
τόκων καὶ ἄλλων μυρίων τοιούτων τὰ πολλὰ ἀπήλλακται,
interests and other countless such the many is-rid-of
χαίρειν αὐτοῖς εἰπών, ὁ περὶ ταύτην τὴν πόλιν νομοθέτης,
to-fare-well to-them having-said the about this the city lawgiver
γεωργοῖς δὲ καὶ νομεῦσι καὶ μελιττουργοῖς καὶ τοῖς
for-farmers and and for-herdsmen and for-beekeepers and for-the
περὶ τὰ τοιαῦτα φυλακτηρίοις τε καὶ ἐπιστάταις ὀργάνων
about the such-things guardians both and overseers of-tools
νομοθετήσει, τὰ μέγιστα ἤδη νενομοθετηκὼς περὶ γάμους
will-legislate the greatest-things already having-legislated about marriages
ἅμα καὶ γενέσεις παίδων καὶ τροφάς, ἔτι δὲ καὶ παιδείας
at-once and births of-children and nurtures still and also education
ἀρχῶν τε καταστάσεις ἐν τῇ πόλει· νῦν δ' ἐπὶ τοὺς τὴν
of-offices both establishments in the city now and to the the

τροφὴν καὶ ὅσοι περὶ αὐτὴν ταύτην συνδιαπονοῦσιν
nourishment and as-many-as about it this toil-together
ἀναγκαῖον νομοθετοῦντά ἐστιν τρέπεσθαι.
necessary legislating it-is to-turn
πρῶτον δὴ νόμοι ἔστωσαν λεγόμενοι τοὔνομα γεωργικοί.
first indeed laws let-them-be called the-name agricultural

VI · BOUNDARIES AND NEIGHBORS

The first law, of Zeus of Boundaries: no one moves a boundary stone. Neighbors who encroach, graze another's land, steal bees, start fires that spread, or plant too close pay damages assessed by the country-wardens. Water may be drawn from public channels, and rain-water drained; fruit picked out of season is punished, though foreigners on the road may take some. Whoever fouls water by poison, digging, or theft pays and cleanses it as the interpreters direct.

ΑΘΗ. Διὸς ὁρίου μὲν πρῶτος νόμος ὅδε εἰρήσθω· μὴ 843
of-Zeus of-boundaries indeed first law this let-be-said not
κινείτω γῆς ὅρια μηδεὶς μήτε οἰκείου πολίτου γείτονος,
let-move of-land boundaries no-one neither of-native citizen neighbor
μήτε ὁμοτέρμονος ἐπ' ἐσχατιᾶς κεκτημένος ἄλλῳ ξένῳ
nor of-adjoining at frontier having-possessed to-other foreigner
γειτονῶν, νομίσας τὸ τἀκίνητα κινεῖν ἀληθῶς τοῦτο
neighboring having-considered the the-unmovable to-move truly this
εἶναι· βουλέσθω δὲ πᾶς πέτρον ἐπιχειρῆσαι κινεῖν τὸν
to-be let-wish and every-man rock to-attempt to-move the
μέγιστον ἄλλον πλὴν ὅρον μᾶλλον ἢ σμικρὸν λίθον
greatest other except boundary rather than small stone
ὁρίζοντα φιλίαν τε καὶ ἔχθραν ἔνορκον παρὰ θεῶν.
bounding friendship both and enmity sworn from gods
τοῦ μὲν γὰρ ὁμόφυλος Ζεὺς μάρτυς, τοῦ δὲ
of-the(-one) indeed for kindred Zeus witness of-the(-other) and

ξένιος, οἳ μετὰ πολέμων τῶν ἐχθίστων ἐγείρονται. καὶ ὁ
of-strangers who with wars the most-hateful are-roused and the
μὲν πεισθεὶς τῷ νόμῳ ἀναίσθητος τῶν ἀπ' αὐτοῦ κακῶν
indeed having-obeyed the law insensible of-the from it evils
γίγνοιτ' ἄν, καταφρονήσας δὲ διτταῖς δίκαις ἔνοχος ἔστω,
would-be — having-despised and to-double penalties liable let-be
μιᾷ μὲν παρὰ θεῶν καὶ πρώτῃ, δευτέρᾳ δὲ ὑπὸ νόμου.
to-one indeed from gods and first to-second and by law
μηδεὶς γὰρ ἑκὼν κινείτω γῆς ὅρια γειτόνων· ὃς δ'
no-one for willingly let-move of-land boundaries of-neighbors who and
ἂν κινήσῃ, μηνυέτω μὲν ὁ βουλόμενος τοῖς γεωργοῖς,
— move let-inform indeed the wishing to-the farmers
οἱ δὲ εἰς τὸ δικαστήριον ἀγόντων. ἢν δέ τις ὄφλῃ
they and to the court let-them-bring if and anyone be-convicted-in
τὴν τοιαύτην δίκην, ὡς ἀνάδαστον γῆν λάθρᾳ καὶ βίᾳ
the such suit as redistributed land secretly and by-force
ποιούμενος τοῦ ὄφλοντος, τιμάτω τὸ δικαστήριον ὅτι
making the convicted let-assess the court whatever
ἂν δέῃ πάσχειν ἢ ἀποτίνειν τὸν ἡττηθέντα.
— it-is-necessary to-suffer or to-pay the defeated
c τὸ δὲ μετὰ τοῦτο βλάβαι πολλαὶ καὶ σμικραὶ γειτόνων
the and after this harms many and small of-neighbors
γιγνόμεναι, διὰ τὸ θαμίζειν ἔχθρας ὄγκον μέγαν
happening because-of the being-frequent of-enmity bulk great
ἐντίκτουσαι, χαλεπὴν καὶ σφόδρα πικρὰν γειτονίαν
engendering harsh and very bitter neighborhood
ἀπεργάζονται. διὸ χρὴ πάντως εὐλαβεῖσθαι γείτονα
produce wherefore one-must altogether to-beware neighbor
γείτονι μηδὲν ποιεῖν διάφορον, τῶν τε ἄλλων πέρι καὶ δὴ
to-neighbor nothing to-do contrary of-the both other-things about and indeed
καὶ ἐπεργασίας συμπάσης σφόδρ' ἀεὶ διευλαβούμενον· τὸ
also of-encroachment whole very always being-careful the

μὲν γὰρ βλάπτειν οὐδὲν χαλεπὸν ἀλλ᾽ ἀνθρώπου παντός,
indeed for to-harm nothing hard but of-man every
τὸ δ᾽ ἐπωφελεῖν οὐδαμῇ ἅπαντος. ὃς δ᾽ ἂν ἐπεργάζηται
the and to-benefit in-no-way of-every whoever and — work-over
τὰ τοῦ γείτονος ὑπερβαίνων τοὺς ὅρους, τὸ μὲν βλάβος
the-things of-the neighbor overstepping the boundaries the indeed damage
ἀποτινέτω, τῆς δὲ ἀναιδείας ἅμα καὶ ἀνελευθερίας ἕνεκα
let-him-pay of-the and shamelessness at-once and illiberality for-the-sake
ἰατρευόμενος διπλάσιον τοῦ βλάβους ἄλλο ἐκτεισάτω
being-cured double of-the damage other let-him-pay
τῷ βλαφθέντι· τούτων δὲ καὶ ἁπάντων τῶν τοιούτων
to-the harmed of-these and also of-all the such
ἐπιγνώμονές τε καὶ δικασταὶ καὶ τιμηταὶ γιγνέσθων
judges both and jurors and assessors let-be
ἀγρονόμοι, τῶν μὲν μειζόνων, καθάπερ ἐν τοῖς πρόσθεν
country-wardens of-the indeed greater as in the before
εἴρηται, πᾶσα ἡ τοῦ δωδεκατημορίου τάξις, τῶν ἐλαττόνων
has-been-said all the of-the twelfth-part order of-the lesser
δὲ οἱ φρούραρχοι τούτων. καὶ ἐάν τις βοσκήματα ἐπινέμῃ,
and the garrison-commanders of-these and if anyone cattle graze-on
τὰς βλάβας ὁρῶντες κρινόντων καὶ τιμώντων. καὶ ἐὰν
the damages seeing let-them-judge and let-them-assess and if
ἐσμοὺς ἀλλοτρίους σφετερίζῃ τις τῇ τῶν μελιττῶν ἡδονῇ
swarms another's appropriate anyone to-the of-the bees pleasure
συνεπόμενος καὶ κατακρούων οὕτως οἰκειῶται, τινέτω τὴν
following and by-beating so make-his-own let-him-pay the
βλάβην. καὶ ἐὰν πυρεύων τὴν ὕλην μὴ διευλαβηθῇ τῶν
damage and if burning the wood not take-care of-the-things
τοῦ γείτονος, τὴν δόξασαν ζημίαν τοῖς ἄρχουσι ζημιούσθω.
of-the neighbor the resolved penalty by-the officials let-him-be-fined

844 καὶ ἐὰν φυτεύων μὴ ἀπολείπῃ τὸ μέτρον τῶν τοῦ γείτονος
and if planting not leave the measure of-the of-the neighbor
χωρίων, καθάπερ εἴρηται καὶ πολλοῖς νομοθέταις ἱκανῶς,
plots as has-been-said also by-many lawgivers sufficiently
ὧν τοῖς νόμοις χρὴ προσχρῆσθαι καὶ μὴ πάντα ἀξιοῦν,
whose with-the laws one-must to-use-besides and not all to-think-fit
πολλὰ καὶ σμικρὰ καὶ τοῦ ἐπιτυχόντος νομοθέτου γιγνόμενα,
many and small and of-the chance lawgiver happening
τὸν μείζω πόλεως κοσμητὴν νομοθετεῖν· ἐπεὶ καὶ τῶν
the greater of-city orderer to-legislate since also of-the
ὑδάτων πέρι γεωργοῖσι παλαιοὶ καὶ καλοὶ νόμοι κείμενοι οὐκ
waters about for-farmers old and fine laws lying not
ἄξιοι παροχετεύειν λόγοις, ἀλλ᾽ ὁ βουληθεὶς ἐπὶ τὸν αὑτοῦ
worthy to-divert with-words but the having-wished to the of-himself
τόπον ἄγειν ὕδωρ ἀγέτω μὲν ἀρχόμενος ἐκ τῶν κοινῶν
place to-lead water let-him-lead indeed beginning from the common
ναμάτων, μὴ ὑποτέμνων πηγὰς φανερὰς ἰδιώτου μηδενός,
streams not undercutting springs visible of-private-person no
ᾗ δ᾽ ἂν βούληται ἄγειν, πλὴν δι᾽ οἰκίας ἢ ἱερῶν τινων
where and — he-wishes to-lead except through houses or sanctuaries some
ἢ καὶ μνημάτων, ἀγέτω, μὴ βλάπτων πλὴν αὐτῆς τῆς
or also tombs let-him-lead not harming except itself the
ὀχεταγωγίας. ἀυδρία δὲ εἴ τισι τόποις σύμφυτος ἐκ γῆς
channeling dryness and if in-some places innate from earth
τὰ ἐκ Διὸς ἰόντα ἀποστέγει νάματα, καὶ ἐλλείπει τῶν
the-things from Zeus coming shuts-off streams and lacks of-the
ἀναγκαίων πωμάτων, ὀρυττέτω μὲν ἐν τῷ αὑτοῦ χωρίῳ
necessary drinks let-him-dig indeed in the of-himself plot
μέχρι τῆς κεραμίδος γῆς, ἐὰν δ᾽ ἐν τούτῳ τῷ βάθει μηδαμῶς
up-to the clay earth if and in this the depth in-no-way
ὕδατι προστυγχάνῃ, παρὰ τῶν γειτόνων ὑδρευέσθω μέχρι
water he-meet from the neighbors let-him-draw-water up-to

τοῦ ἀναγκαίου πώματος ἑκάστοις τῶν οἰκετῶν· ἐὰν δὲ
the necessary drink for-each of-the household-slaves if and
δι᾽ ἀκριβείας ᾖ καὶ τοῖς γείτοσι, τάξιν τῆς ὑδρείας
with exactness it-be also for-the neighbors order of-the water-drawing
ταξάμενος παρὰ τοῖς ἀγρονόμοις, ταύτην ἡμέρας ἑκάστης
having-ordered with the country-wardens this day each
κομιζόμενος, οὕτω κοινωνείτω τοῖς γείτοσιν ὕδατος.
receiving so let-him-share with-the neighbors water
ἐὰν δὲ ἐκ Διὸς ὕδατα γιγνόμενα, τὸν ἐπάνω γεωργοῦντα d
if and from Zeus waters coming-about the above farming
ἢ καὶ ὁμότοιχον οἰκοῦντα τῶν ὑποκάτω βλάπτῃ τις
or also with-common-wall dwelling of-the below harm anyone
μὴ διδοὺς ἐκροήν, ἢ τοὐναντίον ὁ ἐπάνω μεθιεὶς εἰκῇ
not giving outlet or the-opposite the above letting-go at-random
τὰ ῥεύματα βλάπτῃ τὸν κάτω, καὶ περὶ ταῦτα μὴ
the streams harm the below and about these-things not
ἐθέλωσιν διὰ ταῦτα κοινωνεῖν ἀλλήλοις, ἐν ἄστει μὲν
they-wish because-of these-things to-share with-one-another in town indeed
ἀστυνόμον, ἐν ἀγρῷ δὲ ἀγρονόμον ἐπάγων ὁ βουλόμενος
town-warden in field and country-warden bringing-in the wishing
ταξάσθω τί χρὴ ποιεῖν ἑκάτερον· ὁ δὲ μὴ ἐμμένων ἐν
let-him-order what one-must to-do each the and not abiding in
τῇ τάξει φθόνου θ᾽ ἅμα καὶ δυσκόλου ψυχῆς ὑπεχέτω
the order of-envy both at-once and of-peevish soul let-him-be-liable
δίκην, καὶ ὀφλὼν διπλάσιον τὸ βλάβος ἀποτινέτω τῷ
penalty and convicted double the damage let-him-pay to-the
βλαφθέντι, μὴ ἐθελήσας τοῖς ἄρχουσιν πείθεσθαι.
harmed not having-wished to-the officials to-obey
ὀπώρας δὲ δὴ χρὴ κοινωνίαν ποιεῖσθαι πάντας τοιάνδε e
of-fruit and indeed one-must sharing to-make all such
τινά. διττὰς ἡμῖν δωρεὰς ἡ θεὸς ἔχει χάριτος αὕτη, τὴν
some two for-us gifts the goddess has of-grace this the(-one)

μὲν παιδιὰν Διονυσιάδα ἀθησαύριστον, τὴν δ' εἰς
indeed plaything Dionysian not-to-be-stored the(-other) and for
ἀπόθεσιν γενομένην κατὰ φύσιν. ἔστω δὴ περὶ ὀπώρας
storage born according-to nature let-be indeed about fruit
ὅδε νόμος ταχθείς· ὃς ἂν ἀγροίκου ὀπώρας γεύσηται,
this law ordered whoever — rustic fruit taste
βοτρύων εἴτε καὶ σύκων, πρὶν ἐλθεῖν τὴν ὥραν τὴν τοῦ
of-grapes or also of-figs before to-come the season the of-the
τρυγᾶν ἀρκτούρῳ σύνδρομον, εἴτ' ἐν τοῖς αὑτοῦ χωρίοις
vintage with-Arcturus coinciding whether in the of-himself plots
εἴτε καὶ ἐν ἄλλων, ἱερὰς μὲν πεντήκοντα ὀφειλέτω τῷ
or also in of-others sacred indeed fifty let-him-owe to-the
Διονύσῳ δραχμάς, ἐὰν ἐκ τῶν ἑαυτοῦ δρέπῃ, ἐὰν δ' ἐκ
Dionysus drachmas if from the of-himself he-pluck if and from
τῶν γειτόνων, μνᾶν, ἐὰν δ' ἐξ ἄλλων, δύο μέρη τῆς μνᾶς.
the neighbors a-mina if and from others two parts of-the mina
845 ὃς δ' ἂν τὴν γενναίαν νῦν λεγομένην σταφυλὴν ἢ τὰ
who and — the noble now called grape or the
γενναῖα σῦκα ἐπονομαζόμενα ὀπωρίζειν βούληται, ἐὰν
noble figs so-named to-gather wishes if
μὲν ἐκ τῶν οἰκείων λαμβάνῃ, ὅπως ἂν ἐθέλῃ καὶ
indeed from the own he-take as — he-wishes and
ὁπόταν βούληται καρπούσθω, ἐὰν δ' ἐξ ἄλλων μὴ
whenever he-wishes let-him-enjoy if and from others not
πείσας, ἑπομένως τῷ νόμῳ, τῷ μὴ κινεῖν ὅτι μὴ
having-persuaded in-accordance-with the law the not to-move what not
κατέθετο, ἐκείνως ἀεὶ ζημιούσθω· ἐὰν δὲ δὴ δοῦλος μὴ
he-deposited in-that-way always let-him-be-fined if and indeed slave not
πείσας τὸν δεσπότην τῶν χωρίων ἅπτηταί του τῶν
having-persuaded the master of-the plots touch any of-the
τοιούτων, κατὰ ῥᾶγα βοτρύων καὶ σῦκον συκῆς ἰσαρίθμους
such-things by berry of-grapes and fig of-fig-tree equal-in-number

πληγὰς τούτοις μαστιγούσθω. μέτοικος δὲ ὠνούμενος τὴν
blows to-these let-him-be-whipped resident-alien and buying the
γενναίαν ὀπώραν ὀπωριζέτω, ἐὰν βούληται, ἐὰν δὲ ξένος
noble fruit let-him-gather if he-wishes if and foreigner
ἐπιδημήσας ὀπώρας ἐπιθυμῇ φαγεῖν διαπορευόμενος τὰς
visiting fruit desire to-eat traveling-through the
ὁδούς, τῆς μὲν γενναίας ἁπτέσθω, ἐὰν βούληται, μεθ' ἑνὸς
roads of-the indeed noble let-him-touch if he-wishes with one
ἀκολούθου χωρὶς τιμῆς, ξένια δεχόμενος, τῆς δὲ
attendant without price gifts-of-hospitality receiving of-the and
ἀγροίκου λεγομένης καὶ τῶν τοιούτων ὁ νόμος εἰργέτω
rustic called and of-the such the law let-prevent
μὴ κοινωνεῖν ἡμῖν τοὺς ξένους· ἐὰν δέ τις ἀίστωρ ὢν
not to-share with-us the foreigners if and anyone unknowing being
αὐτὸς ἢ δοῦλος ἅψηται, τὸν μὲν δοῦλον πληγαῖς κολάζειν,
himself or slave touch the indeed slave with-blows to-punish
τὸν δὲ ἐλεύθερον ἀποπέμπειν νουθετήσαντα καὶ διδάξαντα
the and free to-send-away having-admonished and having-taught
τῆς ἄλλης ὀπώρας ἅπτεσθαι τῆς εἰς ἀπόθεσιν ἀσταφίδος
of-the other fruit to-touch the for storage of-raisin
οἴνου τε καὶ ξηρῶν σύκων ἀνεπιτηδείου κεκτῆσθαι.
of-wine both and of-dried figs unsuitable to-possess
ἀπίων δὲ πέρι καὶ μήλων καὶ ῥοῶν καὶ πάντων τῶν c
of-pears and about and of-apples and of-pomegranates and of-all the
τοιούτων, αἰσχρὸν μὲν μηδὲν ἔστω λάθρᾳ λαμβάνειν, ὁ
such shameful indeed nothing let-be secretly to-take the
δὲ ληφθεὶς ἐντὸς τριάκοντα ἐτῶν γεγονὼς τυπτέσθω καὶ
and caught within thirty years having-become let-him-be-beaten and
ἀμυνέσθω ἄνευ τραυμάτων, δίκην δ' εἶναι ἐλευθέρῳ
let-him-be-driven-off without wounds penalty and to-be for-free-man
τῶν τοιούτων πληγῶν μηδεμίαν. ξένῳ δὲ καθάπερ
of-the such blows none for-foreigner and as

ὀπώρας ἐξέστω καὶ τῶν τοιούτων μέτοχον εἶναι· ἐὰν
of-fruit let-it-be-allowed also of-the such sharer to-be if
δὲ πρεσβύτερος ὢν ἅπτηται τούτων, φαγὼν αὐτοῦ καὶ
and older being he-touch these having-eaten on-the-spot and
ἀποφέρων μηδέν, καθάπερ ὁ ξένος ταύτῃ κοινωνείτω τῶν
carrying-away nothing as the foreigner in-this-way let-him-share of-the
τοιούτων ἁπάντων, μὴ πειθόμενος δὲ τῷ νόμῳ κινδυνευέτω
such all not obeying and the law let-him-run-the-risk
ἀναγώνιστος γίγνεσθαι περὶ ἀρετῆς, ἐὰν εἰς τότε τὰ
barred-from-contest to-become about virtue if at then the
τοιαῦτα περὶ αὐτοῦ τοὺς τότε κριτάς τις ἀναμιμνήσκῃ.
such about him the then judges anyone remind
e ὕδωρ δὲ πάντων μὲν τὸ περὶ τὰς κηπείας διαφερόντως
water and of-all indeed the about the gardens exceptionally
τρόφιμον, εὐδιάφθαρτον δέ· οὔτε γὰρ γῆν οὔτε ἥλιον
nourishing easily-spoiled but neither for earth nor sun
οὔτε πνεύματα, τοῖς ὕδασι σύντροφα τῶν ἐκ γῆς
nor winds to-the waters co-nurturers of-the from earth
ἀναβλαστανόντων, ῥᾴδιον φθείρειν φαρμακεύσεσιν ἢ
sprouting easy to-spoil with-drugs or
ἀποτροπαῖς ἢ καὶ κλοπαῖς, περὶ δὲ τὴν ὕδατος φύσιν
with-diversions or also with-thefts about and the of-water nature
ἐστὶν τὰ τοιαῦτα σύμπαντα δυνατὰ γίγνεσθαι· διὸ δὴ
is the such all possible to-come-about wherefore indeed
βοηθοῦ δεῖται νόμου. ἔστω τοίνυν ὅδε περὶ αὐτοῦ· ἄν
helper it-needs law let-be then this about it if
τις διαφθείρῃ ἑκὼν ὕδωρ ἀλλότριον, εἴτε καὶ πηγαῖον
anyone spoil willingly water another's whether also of-spring
εἴτε καὶ συναγυρτόν, φαρμακείαις ἢ σκάμμασιν ἢ κλοπαῖς,
or also collected with-drugs or with-diggings or with-thefts
ὁ βλαπτόμενος δικαζέσθω πρὸς τοὺς ἀστυνόμους, τὴν
the harmed let-him-sue before the town-wardens the

ἀξίαν τῆς βλάβης ἀπογραφόμενος· ἂν δέ τις ὄφλῃ
value of-the damage registering if and anyone be-convicted
φαρμακείαις τισὶν βλάπτων, πρὸς τῷ τιμήματι καθηράτω
with-drugs some harming besides the assessment let-him-purify
τὰς πηγὰς ἢ τἀγγεῖον τοῦ ὕδατος, ὅπῃπερ ἂν οἱ
the springs or the-vessel of-the water in-whatever-way — the
τῶν ἐξηγητῶν νόμοι ἀφηγῶνται δεῖν γίγνεσθαι τὴν
of-the interpreters laws direct to-be-necessary to-come-about the
κάθαρσιν ἑκάστοτε καὶ ἑκάστοις.
purification each-time and for-each

VII · HARVEST, CRAFTS, AND TRADE

Rules for carrying in harvests. No citizen practices a craft, since keeping the city is his art, and no craftsman practices two; crafts are left to resident aliens. Imports and exports pay no duty, and luxuries are not imported. The produce is divided into three parts, for citizens, for their slaves, and for craftsmen and foreigners. Villages are laid out around temples and markets, and the craftsmen are distributed among them.

ΑΘΗ. περὶ δὲ συγκομιδῆς τῶν ὡραίων ἁπάντων, 846
about and gathering of-the seasonal-produce all
ἐξέστω τῷ βουλομένῳ τὸ ἑαυτοῦ διὰ παντὸς τόπου
let-it-be-allowed for-the wishing the of-himself through every place
κομίζεσθαι, ὅπῃπερ ἂν ᾖ μηδὲν μηδένα ζημιοῖ ᾖ
to-carry wherever — either nothing no-one he-damage or
τριπλάσιον αὐτὸς κέρδος τῆς τοῦ γείτονος ζημίας κερδαίνῃ,
triple himself gain of-the of-the neighbor damage he-gain
τούτων δὲ ἐπιγνώμονας τοὺς ἄρχοντας γίγνεσθαι, καὶ τῶν
of-these and judges the officials to-become and of-the
ἄλλων ἁπάντων ὅσα τις ἂν ἑκὼν ἄκοντα βλάπτῃ
others all as-many-as anyone — willingly unwilling harm

βίᾳ ἢ λάθρᾳ, αὐτὸν ἢ τῶν αὐτοῦ τι, διὰ τῶν αὑτοῦ
by-force or secretly him or of-the of-him anything through the of-himself
κτημάτων, πάντα τὰ τοιαῦτα τοῖς ἄρχουσιν ἐπιδεικνὺς
possessions all the such-things to-the officials showing
τιμωρείσθω, μέχρι τριῶν μνῶν ὄντος τοῦ βλάβους· ἐὰν δ'
let-him-get-redress up-to three minas being the damage if and
ἔγκλημά τῳ μεῖζον ἄλλῳ πρὸς ἄλλον γίγνηται, πρὸς
charge to-anyone greater one against another arise to
τὰ κοινὰ δικαστήρια φέρων τὴν δίκην τιμωρείσθω τὸν
the common courts bringing the suit let-him-get-redress-from the
ἀδικοῦντα. ἐὰν δέ τις τῶν ἀρχόντων δοκῇ μετ' ἀδίκου
wrongdoer if and anyone of-the officials seem with unjust
γνώμης κρίνειν τὰς ζημίας, τῶν διπλασίων ὑπόδικος ἔστω
judgment to-judge the penalties of-the double liable let-him-be
τῷ βλαφθέντι· τὰ δὲ αὖ τῶν ἀρχόντων ἀδικήματα εἰς
to-the harmed the-things and again of-the officials wrongs to
τὰ κοινὰ δικαστήρια ἐπανάγειν τὸν βουλόμενον ἑκάστων
the common courts to-bring-up the wishing of-each
τῶν ἐγκλημάτων. μυρία δὲ ταῦτα ὄντα καὶ σμικρὰ νόμιμα,
the charges countless and these being and small customs
καθ' ἃ δεῖ τὰς τιμωρίας γίγνεσθαι, λήξεών τε
according-to which one-must the punishments to-come-about of-allotments both
πέρι δικῶν καὶ προσκλήσεων καὶ κλητήρων, εἴτ' ἐπὶ
about of-suits and of-summonses and of-summoners whether before
δυοῖν εἴτ' ἐφ' ὁπόσων δεῖ καλεῖσθαι, καὶ πάντα ὁπόσα
two or before how-many one-must to-be-called and all as-many-as
τοιαῦτά ἐστιν, οὔτ' ἀνομοθέτητα οἷόν τ' εἶναι γέροντός
such are neither unlegislated possible — to-be of-old-man
τε οὐκ ἄξια νομοθέτου, νομοθετούντων δ' αὐτὰ οἱ νέοι
both not worthy lawgiver let-legislate and them the young
πρὸς τὰ τῶν πρόσθεν νομοθετήματα ἀπομιμούμενοι,
according-to the of-the before legislations imitating

σμικρὰ πρὸς μεγάλα, καὶ τῆς ἀναγκαίας αὐτῶν χρείας
small to great and of-the necessary of-them use
ἐμπείρως ἴσχοντες, μέχριπερ ἂν πάντα ἱκανῶς δόξῃ
experienced having until — all sufficiently seem
κεῖσθαι· τότε δὲ ἀκίνητα ποιησάμενοι, ζώντων τούτοις
to-lie then and unmovable having-made let-them-live these
ἤδη χρώμενοι μέτρον ἔχουσι.
already using measure having
τὸ δὲ τῶν ἄλλων δημιουργῶν ποιεῖν χρὴ κατὰ d
the and of-the other craftsmen to-do one-must according-to
τόδε. πρῶτον μὲν ἐπιχώριος μηδεὶς ἔστω τῶν περὶ
this first indeed native no-one let-be of-the about
τὰ δημιουργικὰ τεχνήματα διαπονούντων, μηδὲ οἰκέτης
the craftsmanlike arts laboring nor household-slave
ἀνδρὸς ἐπιχωρίου. τέχνην γὰρ ἱκανήν, πολλῆς ἀσκήσεως
of-man native art for sufficient of-much practice
ἅμα καὶ μαθημάτων πολλῶν δεομένην, κέκτηται πολίτης
at-once and of-lessons many needing has citizen
ἀνὴρ τὸν κοινὸν τῆς πόλεως κόσμον σῴζων καὶ κτώμενος,
man the common of-the city order preserving and acquiring
οὐκ ἐν παρέργῳ δεόμενον ἐπιτηδεύειν· δύο δὲ ἐπιτηδεύματα
not in side-work needing to-practice two and practices
ἢ δύο τέχνας ἀκριβῶς διαπονεῖσθαι σχεδὸν οὐδεμία φύσις
or two arts exactly to-work-through nearly no nature
ἱκανὴ τῶν ἀνθρωπίνων, οὐδ' αὖ τὴν μὲν αὐτὸς ἱκανὸς
sufficient of-the human nor again the(-one) indeed himself sufficient
ἀσκεῖν, τὴν δὲ ἄλλον ἀσκοῦντα ἐπιτροπεύειν.
to-practice the(-other) and another practicing to-supervise
τοῦτ' οὖν ἐν πόλει ὑπάρχον δεῖ πρῶτον γίγνεσθαι· μηδεὶς 847
this then in city existing one-must first to-come-about no-one
χαλκεύων ἅμα τεκταινέσθω, μηδ' αὖ τεκταινόμενος
working-bronze at-once let-him-work-as-carpenter nor again working-as-carpenter

χαλκευόντων ἄλλων ἐπιμελείσθω μᾶλλον ἢ τῆς αὑτοῦ
of-bronze-working others let-him-take-care more than of-the of-himself
τέχνης, πρόφασιν ἔχων ὡς πολλῶν οἰκετῶν ἐπιμελούμενος
art pretext having that many household-slaves taking-care-of
ἑαυτῷ δημιουργούντων, εἰκότως μᾶλλον ἐπιμελεῖται δι'
for-himself working reasonably more takes-care through
ἐκείνων διὰ τὸ τὴν πρόσοδον ἐκεῖθεν αὑτῷ πλείω
those because-of the the income from-there to-himself more
γίγνεσθαι τῆς αὑτοῦ τέχνης, ἀλλ' εἷς μίαν ἕκαστος τέχνην
to-come-about than-the of-himself art but one one each art
ἐν πόλει κεκτημένος ἀπὸ ταύτης ἅμα καὶ τὸ ζῆν κτάσθω.
in city having-acquired from this at-once also the to-live let-him-acquire
τοῦτον δὴ τὸν νόμον ἀστυνόμοι διαπονούμενοι σῳζόντων,
this indeed the law town-wardens laboring let-them-preserve
καὶ τὸν μὲν ἐπιχώριον, ἐὰν εἴς τινα τέχνην ἀποκλίνῃ μᾶλλον
and the indeed native if to some art he-incline more
ἢ τὴν τῆς ἀρετῆς ἐπιμέλειαν, κολαζόντων ὀνείδεσί τε καὶ
than the of-the virtue care let-them-punish with-reproaches both and
ἀτιμίαις, μέχριπερ ἂν κατευθύνωσιν εἰς τὸν αὑτοῦ δρόμον,
dishonors until — they-direct into the of-himself course
ξένων δὲ ἄν τις ἐπιτηδεύῃ δύο τέχνας, δεσμοῖσί τε καὶ
of-foreigners and if anyone practice two arts with-bonds both and
χρημάτων ζημίαις καὶ ἐκβολαῖς ἐκ τῆς πόλεως κολάζοντες,
of-money penalties and expulsions from the city punishing
ἀναγκαζόντων ἕνα μόνον ἀλλὰ μὴ πολλοὺς εἶναι. μισθῶν
let-them-compel one only but not many to-be of-wages
δὲ αὐτοῖς πέρι καὶ τῶν ἀναιρέσεων τῶν ἔργων, καὶ ἐάν
and for-them about and of-the receivings of-the works and if
τις αὐτοὺς ἕτερος ἢ 'κεῖνοί τινα ἄλλον ἀδικῶσι, μέχρι
anyone them another or those someone other wrong up-to

δραχμῶν πεντήκοντα ἀστυνόμοι διαδικαζόντων, τὸ δὲ πλέον
drachmas fifty town-wardens let-decide the and more
τούτου τὰ κοινὰ δικαστήρια διακρινόντων κατὰ νόμον.
than-this the common courts let-judge according-to law
τέλος δὲ ἐν τῇ πόλει μηδένα μηδὲν τελεῖν μήτε ἐξαγομένων c
toll and in the city no-one nothing to-pay neither of-exported
χρημάτων μήτ' εἰσαγομένων· λιβανωτὸν δὲ καὶ ὅσα
goods nor of-imported frankincense and and as-many-as
πρὸς θεοὺς τὰ τοιαῦτα ἐστὶν ξενικὰ θυμιάματα, καὶ
for gods the such-things are foreign incenses and
πορφύραν καὶ ὅσα βαπτὰ χρώματα, μὴ φερούσης
purple and as-many-as dyed colors not bearing
τῆς χώρας, ἢ περί τινα ἄλλην τέχνην δεομένην ξενικῶν
the country or about some other art needing foreign
τινων εἰσαγωγίμων μηδενὸς ἀναγκαίου χάριν μήτε τις
some imported of-nothing necessary for-the-sake neither anyone
ἀγέτω, μήτε αὖ τῶν ἐν τῇ χώρᾳ ἀναγκαίων ἐμμένειν
let-import nor again of-the in the country necessary-things to-remain
ἐξαγέτω· τούτων δ' αὖ πάντων ἐπιγνώμονας εἶναι καὶ
let-export of-these and again all judges to-be and
ἐπιμελητὰς τῶν νομοφυλάκων, πέντε ἀφαιρεθέντων τῶν
overseers of-the law-guardians five having-been-taken-away the
πρεσβυτέρων, τοὺς ἑξῆς δώδεκα.
older the next twelve
περὶ δὲ ὅπλων καὶ ὅσα περὶ τὸν πόλεμον ἅπαντα ὄργανα, d
about and arms and as-many-as about the war all instruments
ἐάν τινος ἢ τέχνης εἰσαγωγίμου δέῃ γίγνεσθαι ἢ φυτοῦ
if of-some or art imported it-be-necessary to-come-about or plant
ἢ μεταλλευτικοῦ κτήματος ἢ δεσμευτικοῦ ἢ ζῴων τινῶν
or metal possession or binding or animals some
ἕνεκα τῆς τοιαύτης χρείας, ἵππαρχοι καὶ στρατηγοὶ
for-the-sake of-the such use cavalry-commanders and generals

τούτων ἔστωσαν κύριοι εἰσαγωγῆς τε καὶ ἐξαγωγῆς,
of-these let-be in-control of-import both and of-export
διδούσης τε ἅμα καὶ δεχομένης τῆς πόλεως, νόμους δὲ περὶ
giving both at-once and receiving the city laws and about
τούτων νομοφύλακες τοὺς πρέποντάς τε καὶ ἱκανοὺς θήσουσι·
these law-guardians the fitting both and sufficient will-set
καπηλείαν δὲ ἕνεκα χρηματισμῶν μήτε οὖν τούτου μήτε
retail-trade and for-the-sake of-money-makings neither then of-this nor
ἄλλου μηδενὸς ἐν τῇ χώρᾳ ὅλῃ καὶ πόλει ἡμῖν γίγνεσθαι.
of-other nothing in the country whole and city for-us to-come-about
τροφῆς δὲ καὶ διανομῆς τῶν ἐκ τῆς χώρας ἐγγὺς
of-nourishment and and distribution of-the from the country near
τῆς τοῦ Κρητικοῦ νόμου ἔοικεν ὀρθότης ἄν τις γιγνομένη
the of-the Cretan law it-seems rightness — some coming-about
κατὰ τρόπον γίγνεσθαι. δώδεκα μὲν γὰρ δὴ μέρη τὰ
in fitting-way to-come-about twelve indeed for indeed parts the
πάντα ἐκ τῆς χώρας γιγνόμενα νέμειν χρεὼν πάντας,
all from the country produced to-distribute it-is-needful all
ᾗπερ καὶ ἀναλωτέα·
in-which-very also must-be-consumed
848 τὸ δὲ δωδέκατον μέρος ἕκαστον — οἷον πυρῶν καὶ
the and twelfth part each as of-wheat and
κριθῶν, οἷσιν δὴ καὶ τὰ ἄπαντα ἀκολουθείτω τὰ ἄλλα
of-barley which indeed also the all let-follow the other
ὡραῖα νεμόμενα, καὶ ὅσα ζῷα σύμπαντα πράσιμα
seasonal-things distributed and as-many-as animals all salable
ἐν ἑκάστοις ᾖ — τριχῇ διαιρείσθω κατὰ λόγον, ἓν μὲν
in each be in-three let-be-divided in proportion one indeed
μέρος τοῖς ἐλευθέροις, ἓν δὲ τοῖς τούτων οἰκέταις· τὸ
part for-the free one and for-the of-these household-slaves the
δὲ τρίτον δημιουργοῖς τε καὶ πάντως τοῖς ξένοις, οἵ τέ
and third for-craftsmen both and altogether for-the foreigners who both

τινες αὖ τῶν μετοικούντων ὧσι συνοικοῦντες τροφῆς
some again of-the resident-aliens be dwelling-together of-nourishment
ἀναγκαίου δεόμενοι, καὶ ὅσοι χρείᾳ τινὶ πόλεως ἢ
necessary needing and as-many-as by-need some of-city or
τινος ἰδιωτῶν εἰσαφικνοῦνται ἑκάστοτε, πάντων τῶν
of-some of-private-persons arrive each-time of-all the
ἀναγκαίων ἀπονεμηθὲν τρίτον μέρος ὤνιον ἐξ ἀνάγκης
necessary-things allotted third part for-sale by necessity
ἔστω τοῦτο μόνον, τῶν δὲ δύο μερῶν μηδὲν ἐπάναγκες
let-be this only of-the and two parts nothing compulsory
ἔστω πωλεῖν. πῶς οὖν δὴ ταῦτα ὀρθότατα νέμοιτ'
let-be to-sell how then indeed these-things most-rightly would-be-distributed
ἄν; πρῶτον μὲν δῆλον ὅτι τῇ μὲν ἴσα, τῇ
— *first indeed clear that in-one-way indeed equal-things in-another*
δ' οὐκ ἴσα νέμομεν.
and not equal-things we-distribute

CLIN. πῶς λέγεις;
how do-you-mean

ATH. χείρω που καὶ βελτίω τούτων ἕκαστα ἀνάγκη φύειν
worse surely and better of-these each necessity to-produce
καὶ ἐκτρέφειν τὴν γῆν.
and to-rear the earth

CLIN. πῶς γὰρ οὔ;
how for not

ATH. τῷ μὲν τοίνυν τοιούτῳ τῶν μερῶν, τριῶν ὄντων, μηδὲν c
the indeed then such of-the parts three being nothing
πλέον ἐχέτω μήτε τοῖς δεσπόταις ἢ δούλοις νεμόμενον, μήτε
more let-have neither for-the masters or slaves distributed nor
αὖ τὸ τῶν ξένων, ἀλλὰ τὴν τῆς ὁμοιότητος ἰσότητα ἡ
again the of-the foreigners but the of-the likeness equality the
νομὴ πᾶσιν ἀποδιδότω τὴν αὐτήν· λαβὼν ἕκαστος τῶν
distribution to-all let-render the same having-received each of-the

πολιτῶν τὰ δύο μέρη κύριος ἔστω τῆς νομῆς δούλοις τε
citizens the two parts in-control let-be of-the distribution to-slaves both
καὶ ἐλευθέροις, ὁπόσ᾽ ἂν καὶ ὁποῖα βούληται διανέμειν.
and free as-many-as — and of-what-sort he-wishes to-distribute
τὸ δὲ πλέον τούτων μέτροις τε καὶ ἀριθμῷ τῇδε χρὴ
the and more of-these by-measures both and by-number in-this-way one-must
διανέμεσθαι· λαβόντα τὸν ἀριθμὸν πάντων τῶν ζῴων
to-be-distributed having-taken the number of-all the animals
οἷς ἐκ τῆς γῆς δεῖ τὴν τροφὴν γίγνεσθαι, διανέμειν.
for-whom from the earth one-must the nourishment to-come-about to-distribute
d τὸ δὲ μετὰ τοῦτο αὐτοῖς οἰκήσεις δεῖ χωρὶς
the and after this for-them dwellings one-must apart
διατεταγμένας εἶναι· τάξις δὲ ἥδε πρέπει τοῖς τοιούτοις.
arranged to-be order and this befits the such
δώδεκα κώμας εἶναι χρή, κατὰ μέσον τὸ δωδεκατημόριον
twelve villages to-be one-must in middle the twelfth-part
ἕκαστον μίαν, ἐν τῇ κώμῃ δὲ ἑκάστῃ πρῶτον μὲν
each one in the village and each first indeed
ἱερὰ καὶ ἀγορὰν ἐξῃρῆσθαι θεῶν τε καὶ τῶν
sanctuaries and market-place to-have-been-chosen of-gods both and of-the
ἑπομένων θεοῖς δαιμόνων, εἴτε τινὲς ἔντοποι Μαγνήτων
following gods daemons whether some local of-the-Magnesians
εἴτ᾽ ἄλλων ἱδρύματα παλαιῶν μνήμῃ διασεσωμένων εἰσίν,
or of-other foundations old in-memory preserved are
τούτοις ἀποδιδόντας τὰς τῶν πάλαι τιμὰς ἀνθρώπων,
to-these rendering the of-the of-old honors of-men
Ἑστίας δὲ καὶ Διὸς Ἀθηνᾶς τε, καὶ ὃς ἂν ἀρχηγὸς
of-Hestia and and of-Zeus of-Athena both and whoever — leader
ᾖ τῶν ἄλλων τοῦ δωδεκάτου ἑκάστου μέρους, ἱερὰ
may-be of-the others of-the twelfth each part sanctuaries
πανταχοῦ ἱδρύσασθαι. πρῶτον δὲ οἰκοδομίας εἶναι περὶ
everywhere to-found first and buildings to-be about

τὰ ἱερὰ ταῦτα, ὅπῃ ἂν ὁ τόπος ὑψηλότατος ᾖ, τοῖς
the sanctuaries these where — the place highest may-be for-the
φρουροῖς ὑποδοχὴν ὅτι μάλιστα εὐερκῆ· τὴν δὲ ἄλλην
guards reception as most well-fenced the and other
χώραν κατασκευάζειν πᾶσαν δημιουργῶν τριακαίδεκα
country to-equip all of-craftsmen thirteen
μέρη διελομένους, καὶ τὸ μὲν ἐν ἄστει κατοικίζειν,
parts having-divided and the(-one) indeed in town to-settle
διελομένους αὖ καὶ τοῦτο εἰς τὰ δώδεκα μέρη τῆς
having-divided again also this into the twelve parts of-the
πόλεως ἁπάσης, ἔξω τε καὶ ἐν κύκλῳ κατανεμηθέντας,
city whole outside both and in circle distributed
ἐν τῇ κώμῃ δὲ ἑκάστῃ τὰ πρόσφορα γεωργοῖς γένη τῶν
in the village and each the useful for-farmers kinds of-the
δημιουργῶν συνοικίζειν. τοὺς δ' ἐπιμελητὰς εἶναι τούτων
craftsmen to-settle-together the and overseers to-be of-these
πάντων τοὺς τῶν ἀγρονόμων ἄρχοντας, ὅσων τε καὶ
all the of-the country-wardens officials of-how-many both and
ὧντινων ὁ τόπος ἕκαστος δεῖται, καὶ ὅπου κατοικοῦντες
of-which the place each needs and where dwelling
ἀλυπότατοί τε καὶ ὠφελιμώτατοι ἔσονται τοῖσιν γεωργοῖσι.
least-troublesome both and most-useful they-will-be to-the farmers

Market-wardens keep order in the market, and foreigners buy food on fixed days; only foreigners may retail food, and only to craftsmen and their slaves. Goods are exchanged for coin at fixed places, and whoever gives credit has no suit if he is not paid. A resident alien who practices a craft may stay twenty years, paying no tax but good conduct, and then leaves with his property, unless the council and the assembly let him stay for some notable service.

849 ATH. τῶν δὲ ἐν ἄστει κατὰ τὰ αὐτὰ
of-the and in town according-to the same-things
ἐπιμεληθῆναι καὶ ἐπιμελεῖσθαι τὴν τῶν ἀστυνόμων
to-take-care and to-take-care the of-the town-wardens
ἀρχήν.
office

b τοῖς δὲ δὴ ἀγορανόμοις τὰ περὶ ἀγοράν που
for-the and indeed market-wardens the-things about market-place surely
δεῖ ἕκαστα μέλειν· ἡ δ' ἐπιμέλεια, μετὰ τὴν
one-must each to-be-a-care the and care after the
τῶν ἱερῶν ἐπίσκεψιν τῶν κατ' ἀγορὰν μή τις
of-the sanctuaries inspection of-the in market-place lest anyone
ἀδικῇ τι, τῆς τῶν ἀνθρώπων χρείας τὸ δεύτερον
wrong anything of-the of-the men need the second
ἂν εἴη, σωφροσύνης τε καὶ ὕβρεως ἐπισκόπους
— would-be of-temperance both and of-insolence overseers
ὄντας κολάζειν τὸν δεόμενον κολάσεως. τῶν δὲ ὠνίων,
being to-punish the needing punishment of-the and wares
πρῶτον μὲν τὰ περὶ τοὺς ξένους ταχθέντα πωλεῖν
first indeed the-things about the foreigners ordered to-sell
τοῖς ἀστοῖς σκοπεῖν εἰ γίγνεται κατὰ τὸν νόμον
to-the townsmen to-examine if happens according-to the law
ἕκαστα. νόμος δ' ἑκάστῳ μηνὸς τῇ νέᾳ ὧν
each law and for-each of-month on-the new-day of-what

δεῖ πραθῆναι τὸ μέρος τοῖς ξένοις ἐξάγειν τοὺς
one-must to-be-sold the part to-the foreigners to-bring-out the
μέν, ἄκοντα μήν, καὶ ταύτῃ μὲν δὴ νομοθετήσω, τοῦτο
indeed unwilling indeed and in-this-way indeed indeed I-shall-legislate this
ὡς ἀκούσιον ἀδίκημα νομοθετῶν, ἀλλ' οὐδὲ ἀδικίαν τὸ
as involuntary wrong legislating but not-even injustice the

παράπαν θήσω τὴν τοιαύτην βλάβην, οὔτε ἂν μείζων
altogether I-shall-set the such harm neither if greater
οὔτε ἂν ἐλάττων τῳ γίγνηται· πολλάκις δὲ ὠφελίαν
nor if less to-anyone it-come-about often and benefit
οὐκ ὀρθὴν γενομένην τὸν τῆς ὠφελίας αἴτιον ἀδικεῖν
not right having-come-about the of-the benefit cause to-do-wrong
φήσομεν, ἐὰν ἥ γ' ἐμὴ νικᾷ. σχεδὸν γάρ, ὦ φίλοι,
we-shall-say if the at-least my prevail nearly for O friends
οὔτ' εἴ τίς τῳ δίδωσίν τι τῶν ὄντων οὔτ' εἰ
neither if anyone to-someone gives something of-the existing-things nor if
τοὐναντίον ἀφαιρεῖται, δίκαιον ἁπλῶς ἢ ἄδικον χρὴ τὸ
the-opposite takes-away just simply or unjust one-must the
τοιοῦτον οὕτω λέγειν, ἀλλ' ἐὰν ἦθει καὶ δικαίῳ τρόπῳ
such so to-call but if with-character and with-just way
χρώμενός τις ὠφελῇ τινά τι καὶ βλάπτῃ, τοῦτό
using anyone benefit someone in-something and harm this
ἐστιν τῷ νομοθέτῃ θεατέον, καὶ πρὸς δύο ταῦτα δὴ
is for-the lawgiver must-be-observed and to two these-things indeed
βλεπτέον, πρός τε ἀδικίαν καὶ βλάβην, καὶ τὸ μὲν βλαβὲν
one-must-look to both injustice and harm and the indeed harmed
ὑγιὲς τοῖς νόμοις εἰς τὸ δυνατὸν ποιητέον, τό τε ἀπολόμενον
sound by-the laws to the possible must-be-made the both lost
σῴζοντα καὶ τὸ πεσὸν ὑπό του πάλιν ἐξορθοῦντα, καὶ
preserving and the fallen by someone again setting-upright and
τὸ θανατωθὲν ἢ τρωθέν, ὑγιές, τὸ δὲ ἀποίνοις ἐξιλασθὲν
the slain or wounded sound the and by-ransoms atoned
τοῖς δρῶσι καὶ πάσχουσιν ἑκάστας τῶν βλάψεων, ἐκ
for-the doing and suffering each of-the harms from
διαφορᾶς εἰς φιλίαν πειρατέον ἀεὶ καθιστάναι τοῖς νόμοις.
difference to friendship one-must-try always to-establish by-the laws

CLIN. καλῶς ταῦτά γε.
finely these-things at-least

ATH. τὰς τοίνυν ἀδίκους αὖ βλάβας καὶ κέρδη δέ, ἐάν
the then unjust again harms and gains and if
τις ἀδικῶν τινα κερδαίνειν ποιῇ, τούτων ὁπόσα μὲν
anyone wronging someone to-gain make of-these as-many-as indeed
ἰατά, ὡς οὐσῶν ἐν ψυχῇ νόσων, ἰᾶσθαι· τὸ δὲ τῆς
curable as being in soul diseases to-cure the and of-the
ἰάσεως ἡμῖν τῆς ἀδικίας τῇδε ῥέπειν χρὴ φάναι.
cure for-us of-the injustice in-this-way to-incline one-must to-say
CLIN. πῇ;
how
d ATH. ὅπως ὅτι τις ἂν ἀδικήσῃ μέγα ἢ σμικρόν, ὁ
that whatever anyone — wrong great or small the
νόμος αὐτὸν διδάξει καὶ ἀναγκάσει τὸ παράπαν εἰς αὖθις
law him will-teach and will-compel the altogether for again
τὸ τοιοῦτον ἢ μηδέποτε ἑκόντα τολμῆσαι ποιεῖν ἢ
the such either never willingly to-dare to-do or
διαφερόντως ἧττον πολύ, πρὸς τῇ τῆς βλάβης ἐκτίσει.
exceptionally less much besides the of-the damage payment
ταῦτα εἴτε ἔργοις ἢ λόγοις, ἢ μεθ' ἡδονῶν ἢ λυπῶν,
these-things whether by-deeds or by-words or with pleasures or pains
ἢ τιμῶν ἢ ἀτιμιῶν, καὶ χρημάτων ζημίας ἢ καὶ δώρων,
or honors or dishonors and of-money penalties or also of-gifts
ἢ καὶ τὸ παράπαν ᾧτινι τρόπῳ ποιήσει τις μισῆσαι
or also the altogether by-whatever way will-make anyone to-hate
μὲν τὴν ἀδικίαν, στέρξαι δὲ ἢ μὴ μισεῖν τὴν τοῦ δικαίου
indeed the injustice to-love and or not to-hate the of-the just
φύσιν, αὐτό ἐστιν τοῦτο ἔργον τῶν καλλίστων νόμων.
nature itself is this work of-the finest laws
ὃν δ' ἂν ἀνιάτως εἰς ταῦτα ἔχοντα αἴσθηται
whomever and — incurably toward these-things being perceive
νομοθέτης, δίκην τούτοισι καὶ νόμον θήσει τίνα;
lawgiver penalty for-these and law will-set what

γιγνώσκων που τοῖς τοιούτοις πᾶσιν ὡς οὔτε αὐτοῖς 863
knowing surely for-the such all that neither for-themselves
ἔτι ζῆν ἄμεινον, τούς τε ἄλλους ἂν διπλῇ ὠφελοῖεν
still to-live better the both others — doubly they-would-benefit
ἀπαλλαττόμενοι τοῦ βίου, παράδειγμα μὲν τοῦ μὴ
being-released from-the life example indeed of-the not
ἀδικεῖν τοῖς ἄλλοις γενόμενοι, ποιοῦντες δὲ ἀνδρῶν
to-do-wrong to-the others becoming making and of-men
κακῶν ἔρημον τὴν πόλιν, οὕτω δὴ τῶν τοιούτων πέρι
bad empty the city so indeed of-the such about
νομοθέτῃ κολαστὴν τῶν ἁμαρτημάτων θάνατον ἀνάγκη
for-lawgiver punisher of-the errors death necessity
νέμειν, ἄλλως δὲ οὐδαμῶς.
to-assign otherwise and in-no-way

CLIN. ἔοικε μέν πως λέγεσθαι τὰ παρὰ σοῦ καὶ μάλα
it-seems indeed somehow to-be-said the-things from you and very
μετρίως, ἥδιον δ' ἂν ἔτι σαφέστερον ἀκούσαιμεν ταῦτα
moderately more-gladly and — still more-clearly we-would-hear these-things
ῥηθέντα, τὸ τῆς ἀδικίας τε καὶ βλάβης διάφορον καὶ τὸ
said the of-the injustice both and harm difference and the
τῶν ἑκουσίων καὶ ἀκουσίων ὡς ἐν τούτοις διαπεποίκιλται.
of-the voluntary and involuntary how in these it-has-been-varied

ATH. πειρατέον τοίνυν ὡς κελεύετε δρᾶν, καὶ λέγειν. δῆλον b
one-must-try then as you-bid to-do and to-say clear
γὰρ ὅτι τοσόνδε γε περὶ ψυχῆς καὶ λέγετε πρὸς ἀλλήλους
for that so-much at-least about soul both you-say to one-another
καὶ ἀκούετε, ὡς ἓν μὲν ἐν αὐτῇ τῆς φύσεως εἴτε τι
and you-hear that one indeed in it of-the nature whether some
πάθος εἴτε τι μέρος ὂν ὁ θυμός, δύσερι καὶ δύσμαχον
affection or some part being the spiritedness contentious and hard-to-fight
κτῆμα ἐμπεφυκός, ἀλογίστῳ βίᾳ πολλὰ ἀνατρέπει.
possession grown-in with-unreasoning force many-things overturns

CLIN. πῶς δ' οὔ;
how and not

ATH. καὶ μὴν ἡδονήν γε οὐ ταὐτὸν τῷ θυμῷ
and indeed pleasure at-least not the-same with-the spiritedness
προσαγορεύομεν, ἐξ ἐναντίας δὲ αὐτῷ φαμεν ῥώμης
we-call from opposite and to-it we-say strength
δυναστεύουσαν, πειθοῖ μετὰ ἀπάτης βιαίου πράττειν
holding-power by-persuasion with deceit violent to-do
πᾶν ὅτιπερ ἂν αὐτῆς ἡ βούλησις ἐθελήσῃ.
all whatever-very — of-it the wish may-will

CLIN. καὶ μάλα.
and very

c ATH. τρίτον μὴν ἄγνοιαν λέγων ἄν τις τῶν ἁμαρτημάτων
third indeed ignorance saying — anyone of-the errors
αἰτίαν οὐκ ἂν ψεύδοιτο· διχῇ μὴν διελόμενος αὐτὸ ὁ
cause not — would-lie in-two indeed having-divided it the
νομοθέτης ἂν βελτίων εἴη, τὸ μὲν ἁπλοῦν αὐτοῦ
lawgiver — better would-be the indeed simple of-it
κούφων ἁμαρτημάτων αἴτιον ἡγούμενος, τὸ δὲ διπλοῦν,
of-light errors cause considering the and double
ὅταν ἀμαθαίνῃ τις μὴ μόνον ἀγνοίᾳ συνεχόμενος ἀλλὰ
whenever be-ignorant anyone not only by-ignorance held but
καὶ δόξῃ σοφίας, ὡς εἰδὼς παντελῶς περὶ ἃ
also by-opinion of-wisdom as knowing completely about which-things
μηδαμῶς οἶδεν, μετὰ μὲν ἰσχύος καὶ ῥώμης ἑπομένης
in-no-way he-knows with indeed strength and force following
μεγάλων καὶ ἀμούσων ἁμαρτημάτων τιθεὶς αἴτια τὰ
of-great and coarse errors setting causes the
τοιαῦτα, ἀσθενείας δὲ ἑπομένης, παιδειά τε ἁμαρτήματα
such-things of-weakness and following childish both errors
καὶ πρεσβυτέρων γιγνόμενα θήσει μὲν ἁμαρτήματα καὶ
and of-the-old coming-about will-set indeed errors and

ὡς ἁμαρτάνουσιν νόμους τάξει, πραοτάτους γε μὴν
as erring laws will-order mildest at-least indeed
πάντων καὶ συγγνώμης πλείστης ἐχομένους.
of-all and of-forgiveness most holding
CLIN. εἰκότα λέγεις.
likely-things you-say
ATH. ἡδονῆς μὲν τοίνυν καὶ θυμοῦ λέγομεν σχεδὸν
of-pleasure indeed then and of-spiritedness we-say nearly
ἅπαντες ὡς ὁ μὲν κρείττων ἡμῶν, ὁ δὲ ἥττων
all that the(-one) indeed stronger than-us the(-other) and weaker
ἐστίν· καὶ ἔχει ταύτῃ.
is and it-is in-this-way
CLIN. παντάπασι μὲν οὖν.
altogether indeed then
ATH. ἀγνοίας δέ γε ὡς ὁ μὲν ἡμῶν κρείττων,
of-ignorance and at-least that the(-one) indeed than-us stronger
ὁ δὲ ἥττων, οὐκ ἠκούσαμεν πώποτε.
the(-other) and weaker not we-heard ever
CLIN. ἀληθέστατα. e
most-truly
ATH. πάντα δέ γε προτρέπειν ταῦτά φαμεν εἰς τὴν αὑτοῦ
all and at-least to-urge these we-say to the of-himself
βούλησιν ἐπισπώμενον ἕκαστον εἰς τἀναντία πολλάκις
wish dragging each to the-opposite often
ἅμα.
at-once
CLIN. πλειστάκις μὲν οὖν.
most-often indeed then
ATH. νῦν δή σοι τό τε δίκαιον καὶ τὸ ἄδικον, ὅ γε 864
now indeed to-you the both just and the unjust which at-least
ἐγὼ λέγω, σαφῶς ἂν διορισαίμην οὐδὲν ποικίλλων. τὴν γὰρ
I mean clearly — I-might-define nothing embroidering the for

τοῦ θυμοῦ καὶ φόβου καὶ ἡδονῆς καὶ λύπης καὶ φθόνων
of-the spiritedness and of-fear and of-pleasure and of-pain and of-envies
καὶ ἐπιθυμιῶν ἐν ψυχῇ τυραννίδα, ἐάντε τι βλάπτῃ καὶ
and of-desires in soul tyranny whether anything it-harm and
ἐὰν μή, πάντως ἀδικίαν προσαγορεύω· τὴν δὲ τοῦ ἀρίστου
if not altogether injustice I-call the and of-the best
δόξαν, ὅπῃπερ ἂν ἔσεσθαι τούτων ἡγήσωνται πόλις εἴτε
opinion in-whatever-way — to-be of-these consider city or
ἰδιῶταί τινες, ἐὰν αὕτη κρατοῦσα ἐν ψυχαῖς διακοσμῇ
private-persons some if this mastering in souls order
πάντα ἄνδρα, κἂν σφάλληταί τι, δίκαιον μὲν πᾶν
every man even-if it-err somewhat just indeed all
εἶναι φατέον τὸ ταύτῃ πραχθὲν καὶ τὸ τῆς τοιαύτης
to-be must-be-said the in-this-way done and the of-the such
ἀρχῆς γιγνόμενον ὑπήκοον ἑκάστων, καὶ ἐπὶ τὸν ἅπαντα
rule becoming obedient of-each and for the whole
ἀνθρώπων βίον ἄριστον, δοξάζεσθαι δὲ ὑπὸ πολλῶν
of-men life best to-be-believed and by many
ἀκούσιον ἀδικίαν εἶναι τὴν τοιαύτην βλάβην. ἡμῖν δὲ οὐκ
involuntary injustice to-be the such harm for-us and not
ἔστιν τὰ νῦν ὀνομάτων πέρι δύσεριs λόγος, ἀλλ' ἐπειδὴ τῶν
it-is the now of-names about contentious argument but since of-the
ἁμαρτανομένων τρία εἴδη δεδήλωται γιγνόμενα, ταῦτα εἰς
errors three kinds have-been-shown occurring these-things into
μνήμην πρῶτον ἔτι μᾶλλον ἀναληπτέον. λύπης μὲν οὖν,
memory first still more must-be-taken-up of-pain indeed then
ἣν θυμὸν καὶ φόβον ἐπονομάζομεν, ἓν εἶδος ἡμῖν ἐστιν.
which spiritedness and fear we-name one kind for-us is

CLIN. πάνυ μὲν οὖν.
certainly indeed then

ATH. ἡδονῆς δ᾽ αὖ καὶ ἐπιθυμιῶν δεύτερον, ἐλπίδων δὲ c
of-pleasure and again and of-desires second of-hopes and
καὶ δόξης τῆς ἀληθοῦς περὶ τὸ ἄριστον ἔφεσις τρίτον
and of-opinion the true about the best aiming third
ἕτερον. τούτου δὲ αὐτοῦ τρία διχῇ τμηθέντος πέντε
other of-this and itself three in-two cut five
εἴδη γέγονεν, ὡς νῦν φαμεν· οἷς νόμους διαφέροντας
kinds have-become as now we-say for-which laws differing
ἀλλήλων πέντε εἴδεσιν θετέον ἐν δυοῖν γένεσιν.
from-one-another for-five kinds must-be-set in two classes
CLIN. τίσιν τούτοις;
what these
ATH. τὸ μὲν διὰ βιαίων καὶ συμφανῶν πράξεων
the(-one) indeed through violent and open actions
πραττόμενον ἑκάστοτε, τὸ δὲ μετὰ σκότους καὶ
done each-time the(-other) and with darkness and
ἀπάτης λαθραίως γιγνόμενον, ἔστιν δ᾽ ὅτε καὶ δι᾽
deceit secretly happening is and when also through
ἀμφοῖν τούτοιν πραχθέν· ᾧ δὴ καὶ νόμοι τραχύτατοι
both these done to-which indeed also laws harshest
γίγνοιντο ἄν, εἰ τὸ προσῆκον μέρος ἔχοιεν.
would-come-about — if the fitting share they-should-have
CLIN. εἰκὸς γοῦν.
likely at-any-rate
ATH. ἴωμεν δὴ τὰ μετὰ ταῦτα ἐκεῖσε ὁπόθεν ἐξέβημεν d
let-us-go indeed the after these-things thither whence we-went-out
δεῦρο, περαίνοντες τὴν θέσιν τῶν νόμων. ἦν δὲ ἡμῖν
hither completing the setting of-the laws were and for-us
κείμενα περί τε τῶν συλώντων, οἶμαι, τοὺς θεοὺς
laid-down about both the robbing I-think the gods
καὶ τὰ περὶ προδοτῶν, ἔτι δὲ τῶν τοὺς νόμους
and the-things about traitors still and of-the the laws

διαφθειρόντων ἐπὶ καταλύσει τῆς παρούσης πολιτείας.
corrupting for overthrow of-the present constitution
τούτων δή τις ἂν ἴσως πράξειέν τι μανείς, ἢ νόσοις
of-these indeed anyone — perhaps might-do something mad or by-diseases
ἢ γήρᾳ ὑπερμέτρῳ συνεχόμενος, ἢ παιδίᾳ χρώμενος,
or by-old-age excessive held or by-childishness using
οὐδέν πω τῶν τοιούτων διαφέρων· ὧν ἂν γίγνηταί
nothing yet of-the such differing of-whom — become
τι φανερὸν τοῖς ἐκλεχθεῖσιν ἑκάστοτε δικασταῖς,
something evident to-the chosen each-time judges
ἀναφέροντος τοῦ δράσαντος ἢ τοῦ σκηπτομένου ὑπὲρ
referring the having-done or the pleading on-behalf-of
τοῦ ποιήσαντος, κριθῇ δὲ οὕτω διατεθεὶς παρανομῆσαι,
the having-done he-be-judged and so disposed to-have-broken-the-law
τὴν μὲν βλάβην ἣν ἄν τινα καταβλάψῃ πάντως ἁπλῆν
the indeed damage which — anyone he-harm altogether simple
ἀποτινέτω, τῶν δὲ ἄλλων δικαιωμάτων ἀφείσθω, πλὴν
let-him-pay of-the and other penalties let-him-be-released except
ἂν ἄρα τινὰ ἀποκτείνας μὴ καθαρὸς ᾖ τὰς χεῖρας φόνου·
if then someone having-killed not pure be the hands of-murder
οὕτω δ' εἰς ἄλλην χώραν καὶ τόπον ἀπελθὼν οἰκείτω
so and to other country and place having-gone-away let-him-dwell
τὸν ἐνιαυτὸν ἐκδημῶν, πρότερον δὲ ἐλθὼν τοῦ χρόνου
the year being-abroad sooner and having-come than-the time
ὃν ὁ νόμος ὥρισεν, ἢ καὶ πάσης ἐπιβὰς τῆς οἰκείας
which the law defined or also all having-set-foot-on the own
χώρας, ἐν δημοσίῳ δεσμῷ δεθεὶς ὑπὸ τῶν νομοφυλάκων
country in public bond bound by the law-guardians
δύο ἐνιαυτούς, οὕτως ἀπαλλαττέσθω τῶν δεσμῶν.
two years so let-him-be-released from-the bonds

Killing without intent, in contests, war, or medical care, is purified as Delphi prescribes. One who kills a slave unwillingly indemnifies the owner; one who kills a free man is purified and spends a year in exile, since the dead man's spirit is angry at seeing his killer about. A kinsman who fails to prosecute is polluted himself and exiled for five years. Killing in anger is then divided into the sudden, punished by two years' exile, and the premeditated, by three, and twelve judges sent by the law-guardians decide at the border whether the exile may return.

ATH. φόνου δὴ καθάπερ ἠρξάμεθα, πειρώμεθα διὰ 865
of-murder indeed as we-began let-us-try through
τέλους παντὸς εἶδους πέρι φόνου θεῖναι τοὺς νόμους,
end every kind about of-murder to-set the laws
καὶ πρῶτον μὲν τὰ βίαια καὶ ἀκούσια λέγωμεν. εἴ τις
and first indeed the violent and involuntary let-us-tell if anyone
ἐν ἀγῶνι καὶ ἄθλοις δημοσίοις ἄκων, εἴτε παραχρῆμα
in contest and games public unwillingly whether at-once
εἴτε καὶ ἐν ὑστέροις χρόνοις ἐκ τῶν πληγῶν, ἀπέκτεινέν
or also in later times from the blows killed
τινα φίλιον, ἢ κατὰ πόλεμον ὡσαύτως ἢ κατὰ μελέτην
someone friendly or in war likewise or in practice
τὴν πρὸς πόλεμον, ποιουμένων ἄσκησιν ψιλοῖς σώμασιν ἢ
the toward war making training with-bare bodies or
μετά τινων ὅπλων ἀπομιμουμένων τὴν πολεμικὴν πρᾶξιν,
with some arms imitating the warlike action
καθαρθεὶς κατὰ τὸν ἐκ Δελφῶν κομισθέντα περὶ τούτων
purified according-to the from Delphi brought about these
νόμον ἔστω καθαρός· ἰατρῶν δὲ πέρι πάντων, ἂν ὁ
law let-him-be pure of-physicians and about all if the
θεραπευόμενος ὑπ' αὐτῶν ἀκόντων τελευτᾷ, καθαρὸς ἔστω
being-treated by them unwillingly die pure let-be

κατὰ νόμον. ἐὰν δὲ αὐτόχειρ μέν, ἄκων δὲ ἀποκτείνῃ
according-to law if and by-his-own-hand indeed unwillingly and kill
τις ἕτερος ἕτερον, εἴτε τῷ ἑαυτοῦ σώματι ψιλῷ εἴτε
anyone one another whether by-the of-himself body bare or
ὀργάνῳ ἢ βέλει ἢ πώματος ἢ σίτου δόσει ἢ πυρὸς
by-instrument or by-missile or of-drink or of-food by-giving or of-fire
ἢ χειμῶνος προσβολῇ ἢ στερήσει πνεύματος, αὐτὸς τῷ
or of-cold by-application or by-deprivation of-breath himself by-the
ἑαυτοῦ σώματι ἢ δι᾽ ἑτέρων σωμάτων, πάντως ἔστω
of-himself body or through other bodies altogether let-him-be
μὲν ὡς αὐτόχειρ, δίκας δὲ τινέτω τὰς τοιάσδε· ἐὰν μὲν
indeed as by-his-own-hand penalties and let-him-pay the such if indeed
δοῦλον κτείνῃ, νομίζων τὸν ἑαυτοῦ διεργάσθαι τὸν τοῦ
slave he-kill thinking the of-himself to-have-killed the of-the
τελευτήσαντος δεσπότην ἀβλαβῆ παρεχέτω καὶ ἀζήμιον,
dead master unharmed let-him-render and unpunished
ἢ δίκην εἰς τὴν ἀξίαν τοῦ τελευτήσαντος ὑπεχέτω
or penalty for the value of-the dead let-him-be-liable
διπλῆν, τῆς δὲ ἀξίας οἱ δικασταὶ διάγνωσιν ποιείσθωσαν,
double the and value the judges assessment let-them-make
καθαρμοῖς δὲ χρήσασθαι μείζοσίν τε καὶ πλείοσι τῶν
purifications and to-use greater both and more than-the
περὶ τὰ ἆθλα ἀποκτεινάντων, τούτων δ᾽ ἐξηγητὰς εἶναι
about the games having-killed of-these and interpreters to-be
κυρίους οὓς ἂν ὁ θεὸς ἀνέλῃ· ἐὰν δὲ αὐτοῦ δοῦλον,
in-control whom — the god pick if and of-himself slave
καθηράμενος ἀπαλλαττέσθω τοῦ φόνου κατὰ νόμον.
having-been-purified let-him-be-released from-the murder according-to law
e ἐὰν δέ τις ἐλεύθερον ἄκων ἀποκτείνῃ, τοὺς μὲν
if and anyone free-man unwillingly kill the indeed
καθαρμοὺς τοὺς αὐτοὺς καθαρθήτω τῷ τὸν δοῦλον
purifications the same let-him-be-purified as-the the slave

ἀποκτείναντι, παλαιὸν δέ τινα τῶν ἀρχαίων μύθων
having-killed old and some of-the ancient tales
λεγόμενον μὴ ἀτιμαζέτω. λέγεται δὲ ὡς ὁ θανατωθεὶς
told not let-him-dishonor it-is-said and that the slain
ἄρα βιαίως, ἐν ἐλευθέρῳ φρονήματι βεβιωκώς, θυμοῦται
then violently in free spirit having-lived is-angry
τε τῷ δράσαντι νεοθνὴς ὤν, καὶ φόβου καὶ δείματος
both with-the having-done newly-dead being and with-fear and terror
ἅμα διὰ τὴν βίαιον πάθην αὐτὸς πεπληρωμένος, ὁρῶν
at-once because-of the violent suffering himself filled seeing
τε τὸν ἑαυτοῦ φονέα ἐν τοῖς ἤθεσι τοῖς τῆς ἑαυτοῦ
both the of-himself murderer in the haunts the of-the of-himself
συνηθείας ἀναστρεφόμενον, δειμαίνει, καὶ ταραττόμενος
familiarity going-about he-dreads and disturbed
αὐτὸς ταράττει κατὰ δύναμιν πᾶσαν τὸν δράσαντα,
himself disturbs with power all the having-done
μνήμην σύμμαχον ἔχων, αὐτόν τε καὶ τὰς πράξεις αὐτοῦ.
memory ally having himself both and the actions of-him
διὸ δὴ χρεών ἐστιν ἄρα ὑπεξελθεῖν τῷ παθόντι
wherefore indeed it-is-needful it-is then to-withdraw for-the having-suffered
τὸν δράσαντα τὰς ὥρας πάσας τοῦ ἐνιαυτοῦ καὶ ἐρημῶσαι
the having-done the seasons all of-the year and to-leave-empty
πάντας τοὺς οἰκείους τόπους συμπάσης τῆς πατρίδος·
all the familiar places of-all the fatherland
ἐὰν δὲ ξένος ὁ τελευτήσας ᾖ, καὶ τῆς τοῦ ξένου χώρας 866
if and foreigner the dead be also of-the of-the foreigner country
εἰργέσθω τοὺς αὐτοὺς χρόνους. τούτῳ δὴ τῷ νόμῳ
let-him-be-kept-out the same times by-this indeed the law
ἐὰν μὲν ἑκὼν πείθηταί τις, ὁ τοῦ τελευτήσαντος γένει
if indeed willingly obey anyone the of-the dead in-family
ἐγγύτατα, ἐπίσκοπος ὢν τούτων πάντων γενομένων,
nearest overseer being of-these all having-happened

ἐχέτω συγγνώμην τε καὶ ἄγων πρὸς αὐτὸν εἰρήνην
let-him-have forgiveness both and keeping toward him peace
μέτριος ἂν εἴη πάντως· ἐὰν δέ τις ἀπειθῇ καὶ πρῶτον
moderate — would-be altogether if and anyone disobey and first
μὲν ἀκάθαρτος ὢν εἰς τὰ ἱερὰ τολμᾷ πορεύεσθαι
indeed impure being into the sanctuaries dare to-go
καὶ θύειν, ἔτι δὲ τοὺς χρόνους μὴ ἐθέλῃ πληροῦν
and to-sacrifice still and the times not be-willing to-fulfill
ἀποξενούμενος τοὺς εἰρημένους, ὁ τοῦ τελευτήσαντος γένει
living-abroad the said the of-the dead in-family
ἐγγύτατα ἐπεξίτω μὲν φόνου τῷ κτείναντι, διπλᾶ
nearest let-him-prosecute indeed for-murder the having-killed double
δὲ πάντα ἔστω τὰ τιμωρήματα τῷ ὀφλόντι. ἐὰν δ' ὁ
and all let-be the punishments for-the convicted if and the
προσήκων ἐγγύτατα μὴ ἐπεξίῃ τῷ παθήματι, τὸ μίασμα
related nearest not prosecute the suffering the pollution
ὡς εἰς αὐτὸν περιελήλυθός, τοῦ παθόντος προστρεπομένου
as to him having-come-round the having-suffered turning
τὴν πάθην, ὁ βουλόμενος ἐπεξελθὼν τούτῳ δίκην, πέντε
the suffering the wishing having-prosecuted this-one penalty five
ἔτη ἀποσχέσθαι τῆς αὑτοῦ πατρίδος ἀναγκαζέτω κατὰ
years to-keep-away-from the of-himself fatherland let-him-compel according-to
νόμον. ἐὰν δὲ ξένος ἄκων ξένον κτείνῃ τῶν ἐν τῇ πόλει,
law if and foreigner unwillingly foreigner kill of-the in the city
ἐπεξίτω μὲν ὁ βουλόμενος ἐπὶ τοῖς αὐτοῖς νόμοις, μέτοικος
let-prosecute indeed the wishing on the same laws resident-alien
δὲ ὢν ἀπενιαυτησάτω, ξένος δὲ ἂν ᾖ παντάπασιν, πρὸς
and being let-him-be-away-a-year foreigner and if he-be altogether besides
τῷ καθαρμῷ, ἐάντε ξένον ἐάντε μέτοικον ἐάντε ἀστὸν
the purification whether foreigner or resident-alien or townsman
κτείνῃ, τὸν βίον ἅπαντα τῆς χώρας τῆς τῶν νόμων
he-kill the life whole from-the country the of-the laws

τῶνδε κυρίας εἰργέσθω· ἐὰν δ' ἔλθῃ παρανόμως, οἱ
of-these having-authority let-him-be-kept-out if and he-come lawlessly the
νομοφύλακες θανάτῳ ζημιούντων αὐτόν, καὶ ἐὰν ἔχῃ οὐσίαν
law-guardians with-death let-them-punish him and if he-have property
τινά, τῷ τοῦ παθόντος ἐγγύτατα γένει παραδιδόντων.
any to-the of-the having-suffered nearest in-family let-them-hand-over
ἐὰν δὲ ἄκων ἔλθῃ, ἂν μὲν κατὰ θάλατταν ἐκπίπτῃ d
if and unwillingly he-come if indeed by sea he-be-cast-ashore
πρὸς τὴν χώραν, σκηνησάμενος ἐν θαλάττῃ τέγγων τοὺς
to the country having-camped in sea wetting the
πόδας πλοῦν ἐπιφυλαττέτω, κατὰ γῆν δὲ ἂν βίᾳ ὑπό
feet voyage let-him-watch-for by land and if by-force by
τινων ἀχθῇ, ἡ πρώτη προστυχοῦσα ἀρχὴ τῶν ἐν τῇ
some he-be-brought the first meeting office of-the in the
πόλει λύσασα, εἰς τὴν ὑπερορίαν ἐκπεμπέτω ἄσυλον. ἐὰν
city having-released to the beyond-the-border let-send-out inviolate if
δ' ἄρα τις αὐτόχειρ μὲν κτείνῃ ἐλεύθερον, θυμῷ δὲ ᾖ
and then anyone by-his-own-hand indeed kill free-man in-spirit and be
τὸ πεπραγμένον ἐκπραχθέν, διχῇ δεῖ πρῶτον τὸ τοιοῦτον
the done done in-two one-must first the such
διαλαβεῖν. θυμῷ γὰρ δὴ πέπρακται καὶ τοῖς ὅσοι ἂν
to-distinguish in-spirit for indeed it-has-been-done also by-those as-many-as —
ἐξαίφνης μὲν καὶ ἀπροβουλεύτως τοῦ ἀποκτεῖναι πληγαῖς
suddenly indeed and without-premeditation of-the to-kill with-blows
ἤ τινι τοιούτῳ διαφθείρωσί τινα παραχρῆμα τῆς
or with-some such destroy someone at-once the
ὁρμῆς γενομένης, μεταμέλειά τε εὐθὺς τοῦ πεπραγμένου
impulse having-come-about regret both at-once of-the done
γίγνηται, θυμῷ δὲ καὶ ὅσοι προπηλακισθέντες λόγοις
come-about in-spirit and also as-many-as insulted by-words
ἢ καὶ ἀτίμοις ἔργοις, μεταδιώκοντες τὴν τιμωρίαν,
or also by-dishonorable deeds pursuing the revenge

ὕστερον ἀποκτείνωσί τινα βουληθέντες κτεῖναι καὶ τὸ
later kill someone having-wished to-kill and the
πεπραγμένον αὐτοῖς ἀμεταμέλητον γίγνηται.
done for-them unrepented become
867 διττοὺς μὲν δὴ τοὺς φόνους, ὡς ἔοικε, θετέον, καὶ
twofold indeed indeed the murders as it-seems must-be-set and
σχεδὸν ἀμφοτέρους θυμῷ γεγονότας, μεταξὺ δέ που τοῦ
nearly both in-spirit having-happened between and surely of-the
τε ἑκουσίου καὶ ἀκουσίου δικαιότατ' ἂν λεγομένους. οὐ
both voluntary and involuntary most-justly — called not
μὴν ἀλλ' εἰκών ἐσθ' ἑκάτερος· ὁ μὲν τὸν θυμὸν
indeed but likeness is each the(-one) indeed the spirit
φυλάττων καὶ οὐκ ἐκ τοῦ παραχρῆμα ἐξαίφνης ἀλλὰ
guarding and not from the at-once suddenly but
μετὰ ἐπιβουλῆς ὕστερον χρόνῳ τιμωρούμενος ἑκουσίῳ
with plotting later in-time avenging to-voluntary
ἔοικεν, ὁ δὲ ἀταμιεύτως ταῖς ὀργαῖς καὶ ἐκ τοῦ
is-like the(-other) and without-restraint with-the angers and from the
παραχρῆμα εὐθὺς χρώμενος ἀπροβουλεύτως ὅμοιος μὲν
at-once immediately using without-premeditation like indeed
ἀκουσίῳ, ἔστι δὲ οὐδ' οὗτος αὖ παντάπασιν ἀκούσιος
to-involuntary is and not-even this-one again altogether involuntary
ἀλλ' εἰκὼν ἀκουσίου. διὸ χαλεποὶ διορίζειν οἱ τῷ θυμῷ
but likeness of-involuntary wherefore hard to-define the by-the spirit
πραχθέντες φόνοι, πότερον ἑκουσίους αὐτοὺς ἤ τινας ὡς
done murders whether voluntary them or some as
ἀκουσίους νομοθετητέον, βέλτιστον μὴν καὶ ἀληθέστατον
involuntary must-be-legislated best indeed and truest
εἰς εἰκόνα μὲν ἄμφω θεῖναι, τεμεῖν δὲ αὐτὼ χωρὶς τῇ
for likeness indeed both to-set to-cut and them apart by-the
ἐπιβουλῇ καὶ ἀπροβουλίᾳ, καὶ τοῖς μὲν μετ' ἐπιβουλῆς
plotting and lack-of-premeditation and for-the-ones indeed with plotting

τε καὶ ὀργῇ κτείνασιν τὰς τιμωρίας χαλεπωτέρας, τοῖς δὲ
both and anger having-killed the punishments harsher for-the and
ἀπροβουλεύτως τε καὶ ἐξαίφνης πραοτέρας νομοθετεῖν· τὸ
without-premeditation both and suddenly milder to-legislate the
γὰρ εἰκὸς μείζονι κακῷ μειζόνως, τὸ δ' ἐλάττονι τιμωρητέον
for likely for-greater evil more-greatly the and for-lesser one-must-punish
ἐλαττόνως. ποιητέον δὴ καὶ τοῖς ἡμετέροις νόμοις οὕτω.
less must-be-done indeed also in-the our laws so

CLIN. παντάπασι μὲν οὖν.
altogether indeed then

ATH. πάλιν ἐπανελθόντες τοίνυν λέγωμεν· ἂν ἄρα τις d
again having-returned then let-us-say if then anyone
αὐτόχειρ μὲν κτείνῃ ἐλεύθερον, τὸ δὲ πεπραγμένον
by-his-own-hand indeed kill free-man the and done
ἀπροβουλεύτως ὀργῇ τινι γένηται πραχθέν, τὰ μὲν
without-premeditation in-anger some come-about done the-things indeed
ἄλλα, καθάπερ ἄνευ θυμοῦ κτείναντι προσῆκέν τῳ
other as without spirit having-killed it-befitted for-anyone
πάσχειν, πασχέτω, δύο δ' ἐξ ἀνάγκης ἔτη φευγέτω
to-suffer let-him-suffer two and of necessity years let-him-be-exiled
κολάζων τὸν αὑτοῦ θυμόν. ὁ δὲ θυμῷ μέν, μετ' ἐπιβουλῆς
punishing the of-himself spirit the and in-spirit indeed with plotting
δὲ κτείνας τὰ μὲν ἄλλα κατὰ τὸν πρόσθεν αὖ, τρία
and having-killed the-things indeed other according-to the before again three
δὲ ἔτη, καθάπερ ἄτερος ἔφευγεν τὰ δύο, φευγέτω, μεγέθει
and years as the-other was-exiled the two let-him-be-exiled by-magnitude
θυμοῦ πλείω τιμωρηθεὶς χρόνον. καθόδου δὲ πέρι τούτοις
of-spirit longer punished time of-return and about for-these
ὧδε ἔστω. χαλεπὸν μὲν ἀκριβῶς νομοθετεῖν· ἔστι γὰρ ὅτε
thus let-it-be hard indeed exactly to-legislate it-is for when
τούτοιν ὁ τῷ νόμῳ ταχθεὶς χαλεπώτερος ἡμερώτερος
of-these-two the by-the law ordered harsher gentler

ἄν, ὁ δὲ ἡμερώτερος χαλεπώτερος ἂν εἴη, καὶ
— *the(-other) and gentler harsher — would-be and*
τὰ περὶ τὸν φόνον ἀγριωτέρως ἂν πράξειεν, ὁ δὲ
the-things about the murder more-savagely — would-do the(-other) and
ἡμερωτέρως· ὡς δὲ τὸ πολὺ κατὰ τὰ νῦν εἰρημένα
more-gently as and the much according-to the-things now said
συμβαίνει γιγνόμενα. τούτων οὖν πάντων ἐπιγνώμονας
turns-out happening of-these then all judges
εἶναι χρὴ νομοφύλακας, ἐπειδὰν δὲ ὁ χρόνος ἔλθῃ τῆς
to-be one-must law-guardians when and the time come of-the
φυγῆς ἑκατέρῳ, πέμπειν αὐτῶν δικαστὰς δώδεκα ἐπὶ τοὺς
exile for-each to-send of-them judges twelve to the
ὅρους τῆς χώρας, ἐσκεμμένους ἐν τῷ χρόνῳ τούτῳ τὰς
boundaries of-the country having-examined in the time this the
τῶν φυγόντων πράξεις ἔτι σαφέστερον, καὶ τῆς αἰδοῦς τε
of-the exiles actions still more-clearly and of-the pardon both
πέρι καὶ καταδοχῆς τούτων δικαστὰς γίγνεσθαι, τοὺς δὲ
about and of-reception of-these judges to-become them and
αὖ τοῖς δικασθεῖσιν ὑπὸ τῶν τοιούτων ἀρχόντων ἐμμένειν.
again by-the judged by the such officials to-abide

VI · KILLING IN ANGER AND THE KILLING OF KIN

A man who kills again in anger after exile is banished for good; a master who kills his slave in anger is purified; a slave who kills a free man is handed to the dead man's kin. Kin-killing brings purification and exile; a child who kills a parent in anger dies. Willful murder springs from love of money, ambition, and fear.

868 ATH. ἐὰν δ' αὖθίς ποτε κατελθὼν ὁπότερος αὐτοῖν ἡττηθεὶς
if and again ever having-returned either of-them overcome
ὀργῇ πράξῃ ταὐτὸν τοῦτο, φυγὼν μηκέτι κατέλθῃ,
by-anger do the-same this having-been-exiled no-longer let-him-return

κατελθὼν δέ, κατὰ τὴν τοῦ ξένου ἄφιξιν ταύτῃ πασχέτω.
having-returned and according-to the of-the foreigner arrival in-this-way let-him-suffer
δοῦλον δ' ὁ κτείνας ἑαυτοῦ μὲν καθηράσθω, ἐὰν δὲ
slave and the having-killed of-himself indeed let-him-be-purified if and
ἀλλότριον θυμῷ, διπλῇ τὸ βλάβος ἐκτεισάτω τῷ κεκτημένῳ.
another's in-spirit double the damage let-him-pay to-the owner
ὅστις δ' ἂν τῶν ἀποκτεινάντων πάντων μὴ πείθηται τῷ
whoever and — of-the having-killed all not obey the
νόμῳ, ἀλλ' ἀκάθαρτος ὢν ἀγοράν τε καὶ ἅθλα καὶ τὰ
law but impure being market-place both and games and the
ἄλλα ἱερὰ μιαίνῃ, ὁ βουλόμενος, τόν τε ἐπιτρέποντα
other sanctuaries pollute the wishing the both allowing
τῶν προσηκόντων τῷ τελευτήσαντι καὶ τὸν ἀποκτείναντα
of-the kinsmen to-the dead and the having-killed
εἰς δίκην καταστήσας, τὴν διπλασίαν χρημάτων τε καὶ τῶν
into court having-brought the double of-money both and of-the
ἄλλων πράξεων ἀναγκαζέτω πράττειν τε καὶ ἐκτίνειν, τὸ δὲ
other exactions let-him-compel to-exact both and to-pay the and
ἔκτεισμα αὐτὸς αὑτῷ κομιζέσθω κατὰ τὸν νόμον. ἐὰν δέ
payment himself for-himself let-him-receive according-to the law if and
τις θυμῷ δοῦλος δεσπότην αὑτοῦ κτείνῃ, τοὺς προσήκοντας
anyone in-spirit slave master of-himself kill the kinsmen
τοῦ τελευτήσαντος χρωμένους τῷ κτείναντι χρείαν ἣν
of-the dead using the having-killed use whatever
ἂν ἐθέλωσι, πλὴν μηδαμῇ μηδαμῶς ζωγροῦντας, καθαροὺς
— they-wish except in-no-way in-no-way keeping-alive pure
εἶναι· ἐὰν δὲ ἄλλος τις δοῦλος ἐλεύθερον ἀποκτείνῃ θυμῷ,
to-be if and other any slave free-man kill in-spirit
παραδιδόντων οἱ δεσπόται τὸν δοῦλον τοῖς προσήκουσι τοῦ
let-hand-over the masters the slave to-the kinsmen of-the

τελευτήσαντος, οἱ δὲ ἐξ ἀνάγκης μὲν θανατωσάντων
dead the(-others) and of necessity indeed let-them-put-to-death
τὸν δράσαντα, τρόπῳ δὲ ᾧ ἂν ἐθέλωσιν.
the doer in-way and whatever — they-wish
d ἂν δ', ὃ γίγνεται μέν, ὀλιγάκις δέ, διὰ θυμὸν πατὴρ ἢ
if and which happens indeed seldom and through anger father or
μήτηρ υἱὸν ἢ θυγατέρα πληγαῖς ἤ τινι τρόπῳ βιαίῳ κτείνῃ,
mother son or daughter with-blows or by-some way violent kill
καθάρσεις μὲν τὰς αὐτὰς τοῖς ἄλλοις καθαιρέσθω καὶ
purifications indeed the same as-the others let-him-be-purified and
ἐνιαυτοὺς τρεῖς ἀπενιαυτεῖν, κατελθόντων δὲ τῶν κτεινάντων,
years three to-be-away-a-year having-returned and the having-killed
ἀπαλλάττεσθαι γυναῖκά τε ἀπ' ἀνδρὸς καὶ τὸν ἄνδρα ἀπὸ
to-be-separated wife both from husband and the husband from
γυναικός, καὶ μή ποτ' ἔτι κοινῇ παιδοποιήσασθαι, μηδὲ
wife and not ever still in-common to-beget-children nor
συνέστιον ὧν ἔκγονον ἢ ἀδελφὸν ἀπεστέρηκε γίγνεσθαί
to-share-hearth with-whom offspring or brother he-deprived to-become
ποτε μηδὲ κοινωνὸν ἱερῶν· ὁ δὲ ἀσεβῶν τε περὶ ταῦτα
ever nor partner of-rites the and being-impious both about these-things
καὶ ἀπειθῶν ὑπόδικος ἀσεβείας γιγνέσθω τῷ ἐθέλοντι.
and disobeying liable of-impiety let-him-be for-the willing
γυναῖκα δὲ γαμετὴν ἐὰν ἀνὴρ δι' ὀργὴν κτείνῃ τινά τις,
wife and wedded if husband through anger kill any anyone
ἢ γυνὴ ἑαυτῆς ἄνδρα ταὐτὸν τοῦτο ὡσαύτως ἐργάσηται,
or woman her-own husband the-same this likewise do
καθαίρεσθαι μὲν τοὺς αὐτοὺς καθαρμούς, τριετεῖς δὲ
to-be-purified indeed the same purifications three-year and
ἀπενιαυτήσεις διατελεῖν. κατελθὼν δὲ ὅ τι τοιοῦτον
absences to-continue having-returned and what ever such
δράσας, τοῖς αὑτοῦ παισὶν ἱερῶν μὴ κοινωνείτω μηδὲ
having-done with-the of-himself children of-rites not let-him-share nor

ὁμοτράπεζος γιγνέσθω ποτέ· ἀπειθῶν δὲ ὁ γεννήτωρ ἢ
table-companion let-him-become ever disobeying and the begetter or
ὁ γεννηθεὶς ἀσεβείας αὖ ὑπόδικος γιγνέσθω τῷ ἐθέλοντι.
the begotten of-impiety again liable let-him-be for-the willing
καὶ ἐὰν ἀδελφὸς ἀδελφὸν ἢ ἀδελφήν, ἢ ἀδελφὴ ἀδελφὸν 869
and if brother brother or sister or sister brother
ἢ ἀδελφὴν θυμῷ κτείνῃ, τὰ μὲν τῶν καθαρμῶν
or sister in-spirit kill the-things indeed of-the purifications
καὶ ἀπενιαυτήσεων ὡσαύτως, καθάπερ εἴρηται τοῖς
and absences likewise as it-has-been-said for-the
γονεῦσι καὶ τοῖς ἐκγόνοις, εἰρήσθω δεῖν γίγνεσθαι
parents and for-the offspring let-it-be-said to-be-necessary to-come-about
καὶ τούτοις — ὧν ἀδελφούς τε ἀδελφῶν καὶ γονέας
also for-these whose brothers both of-brothers and parents
ἐστέρηκε παίδων, τούτοις δὲ συνέστιος αὐτοῖς μηδέποτε
he-deprived of-children with-these and hearth-sharer to-them never
γιγνέσθω μηδὲ κοινωνὸς ἱερῶν — ἐὰν δέ τις ἀπειθῇ, τῷ
let-him-become nor partner of-rites if and anyone disobey the
τῆς περὶ ταῦτα ἀσεβείας εἰρημένῳ νόμῳ ὑπόδικος ὀρθῶς
the about these-things of-impiety spoken law liable rightly
ἂν γίγνοιτο μετὰ δίκης. ἐὰν δ' ἄρα τις εἰς τοσοῦτον
— would-be with justice if and then anyone to so-much
ἀκρατὴς θυμοῦ γίγνηται πρὸς τοὺς γεννήσαντας, ὥστε
without-control of-spirit become toward the having-begotten so-that
μανίαις ὀργῆς τῶν γεννητόρων τολμῆσαι κτεῖναί τινα, ἐὰν
in-madness of-anger of-the parents to-dare to-kill someone if
μὲν ὁ τελευτήσας πρὶν τελευτῆσαι τὸν δράσαντα φόνου
indeed the dead before to-die the doer of-murder
ἀφιῇ ἑκών, καθάπερ οἱ τὸν ἀκούσιον φόνον ἐξεργασάμενοι
release willingly as the the involuntary murder having-done
καθαρθείς, καὶ τἆλλα ὅσαπερ ἐκεῖνοι πράξας, καθαρὸς
having-been-purified and the-rest as-many-as those having-done pure

ἔστω, ἐὰν δὲ μὴ ἀφῇ, πολλοῖς ἔνοχος ἔστω νόμοις
let-him-be if and not release to-many liable let-him-be laws
ὁ δράσας τι τοιοῦτον· καὶ γὰρ αἰκίας δίκαις ταῖς
the having-done anything such and for of-outrage suits the
ἐσχάταις ἔνοχος ἂν γίγνοιτο καὶ ἀσεβείας ὡσαύτως καὶ
extreme liable — would-be and of-impiety likewise and
ἱεροσυλίας, τὴν τοῦ γεννητοῦ ψυχὴν συλήσας, ὥστ' εἴπερ
of-temple-robbery the of-the begetter soul having-robbed so-that if-indeed
οἷόν τ' ἦν τὸ πολλάκις ἀποθνῄσκειν τὸν αὐτόν, καὶ
possible — it-were the many-times to-die the same also
τὸν πατροφόνον ἢ μητροκτόνον, ἐξεργασάμενον θυμῷ
the parricide or matricide having-done in-spirit
τοῦτο, δικαιότατον θανάτων πολλῶν ἦν τυγχάνειν.
this most-just of-deaths many it-were to-obtain
c ᾧ γὰρ μόνῳ οὐδ' ἀμυνομένῳ θάνατον, μέλλοντι ὑπὸ
for-whom for alone not-even defending-himself death about by
τῶν γονέων τελευτήσεσθαι, παρέξει νόμος οὐδεὶς κτεῖναι
the parents to-die will-allow law none to-kill
τὸν πατέρα ἢ μητέρα, τοὺς εἰς φῶς τὴν ἐκείνου φύσιν
the father or mother the into light the of-that nature
ἀγαγόντας, ἀλλ' ὑπομείναντα τὰ πάντα πάσχειν πρίν τι
having-brought but having-endured the all-things to-suffer before anything
δρᾶν τοιοῦτον νομοθετήσει, πῶς τούτῳ δίκης γε ἄλλως
to-do such will-legislate how for-this of-justice at-least otherwise
προσῆκον τυγχάνειν ἂν γίγνοιτο ἐν νόμῳ; κείσθω
fittingly to-obtain — would-it-come-about in law let-lie
δὴ τῷ πατέρα ἢ μητέρα ἀποκτείναντι θυμῷ θάνατος ἡ
indeed for-the father or mother having-killed in-spirit death the
ζημία. ἀδελφὸς δὲ ἂν ἀδελφὸν κτείνῃ ἐν στάσεσι μάχης
penalty brother and if brother kill in factions battle
γενομένης ἤ τινι τρόπῳ τοιούτῳ, ἀμυνόμενος ἄρχοντα
having-happened or in-some way such defending-himself beginning

χειρῶν πρότερον, καθάπερ πολέμιον ἀποκτείνας ἔστω
of-hands first as enemy having-killed let-him-be
καθαρός, καὶ ἐὰν πολίτης πολίτην, ὡσαύτως, ἢ ξένος ξένον.
pure and if citizen citizen likewise or foreigner foreigner
ἐὰν δὲ ἀστὸς ξένον ἢ ξένος ἀστὸν ἀμυνόμενος κτείνῃ,
if and townsman foreigner or foreigner townsman defending-himself kill
κατὰ ταὐτὰ ἔστω τοῦ καθαροῦ εἶναι. καὶ ἐὰν δοῦλος
according-to the-same let-it-be of-the pure to-be and if slave
δοῦλον, ὡσαύτως· ἐὰν δὲ αὖ δοῦλος ἐλεύθερον ἀμυνόμενος
slave likewise if and again slave free-man defending-himself
ἀποκτείνῃ, καθάπερ ὁ κτείνας πατέρα, τοῖς αὐτοῖς ἔνοχος
kill as the having-killed father to-the same liable
ἔστω νόμοις. ὃ δὲ περὶ τῆς ἀφέσεως εἴρηται φόνου
let-him-be laws what and about the release has-been-said of-murder
πατρί, ταὐτὸν τοῦτο ἔστω περὶ ἁπάσης τῶν τοιούτων
for-father the-same this let-be about all of-the such
ἀφέσεως, ἐὰν ὁστισοῦν ὁτῳοῦν ἀφιῇ τοῦτο ἑκών, ὡς
release if whoever to-whomever release this willingly as
ἀκουσίου γεγονότος τοῦ φόνου, οἵ τε καθαρμοὶ γιγνέσθωσαν
involuntary having-happened the murder the both purifications let-come-about
τῷ δράσαντι καὶ ἐνιαυτὸς εἷς ἔστω τῆς ἐκδημίας ἐν νόμῳ.
for-the doer and year one let-be of-the absence in law
καὶ τὰ μὲν δὴ βίαιά τε καὶ ἀκούσια καὶ κατὰ
and the-things indeed indeed violent both and involuntary and according-to
τὸν θυμὸν γιγνόμενα περὶ φόνους μετρίως εἰρήσθω· τὰ
the spirit happening about murders moderately let-be-said the-things
δὲ περὶ τὰ ἑκούσια καὶ κατ᾽ ἀδικίαν πᾶσαν γιγνόμενα
and about the voluntary and according-to injustice all happening
τούτων πέρι καὶ ἐπιβουλῆς δι᾽ ἥττας ἡδονῶν τε καὶ
these about and of-plotting through defeats by-pleasures both and
ἐπιθυμιῶν καὶ φθόνων, ταῦτα μετ᾽ ἐκεῖνα ἡμῖν λεκτέον.
desires and envies these-things after those for-us must-be-told

CLIN. ὀρθῶς λέγεις.
rightly you-speak

870 ATH. πάλιν δὴ πρῶτον περὶ τῶν τοιούτων εἰς δύναμιν
again indeed first about the such to power
εἴπωμεν ὁπόσα ἂν εἴη. τὸ μὲν δὴ μέγιστον ἐπιθυμία
let-us-say as-many-as — may-be the indeed indeed greatest desire
κρατοῦσα ψυχῆς ἐξηγριωμένης ὑπὸ πόθων· τοῦτο δ'
mastering soul made-savage by longings this and
ἐστὶν μάλιστα ἐνταῦθα οὗ πλεῖστός τε καὶ ἰσχυρότατος
is most there where most both and strongest
ἵμερος ὢν τυγχάνει τοῖς πολλοῖς, ἡ τῶν χρημάτων τῆς
longing being happens for-the many the of-the money of-the
ἀπλήστου καὶ ἀπείρου κτήσεως ἔρωτας μυρίους ἐντίκτουσα
insatiable and infinite acquisition loves countless engendering
δύναμις διὰ φύσιν τε καὶ ἀπαιδευσίαν τὴν κακήν. τῆς
power through nature both and lack-of-education the bad of-the
δὲ ἀπαιδευσίας ἡ τοῦ κακῶς ἐπαινεῖσθαι πλοῦτον αἰτία
and lack-of-education the of-the badly to-be-praised wealth cause
φήμη πρὸς τῶν Ἑλλήνων τε καὶ βαρβάρων· πρῶτον
report among the Greeks both and barbarians first
γὰρ τῶν ἀγαθῶν αὐτὸ προκρίνοντες, τρίτον ὄν, τούς
for of-the goods it preferring third being the
τ' ἐπιγιγνομένους λωβῶνται καὶ ἑαυτούς. τὸ γὰρ ἀληθὲς
both following they-ruin and themselves the for true
λέγεσθαι περὶ τοῦ πλούτου κατὰ πόλεις πάσας πάντων
to-be-said about the wealth in cities all of-all
κάλλιστον καὶ ἄριστον, ὡς ἕνεκα σώματός ἐστι, καὶ σῶμα
finest and best that for-the-sake of-body it-is and body
ψυχῆς ἕνεκα· ἀγαθῶν μὲν οὖν ὄντων ὧν ἕνεκα ὁ
of-soul for-the-sake goods indeed then being of-which for-the-sake the
πλοῦτος εἶναι πέφυκε, τρίτον ἂν εἴη μετὰ σώματος ἀρετὴν
wealth to-be is-by-nature third — would-be after of-body virtue

καὶ ψυχῆς. διδάσκαλος οὖν ἂν ὁ λόγος οὗτος γίγνοιτο ὡς
and of-soul teacher then — the argument this would-become that
οὐ χρὴ πλουτεῖν ζητεῖν τὸν εὐδαίμονα ἐσόμενον, ἀλλὰ
not one-must to-be-rich to-seek the happy going-to-be but
δικαίως πλουτεῖν καὶ σωφρόνως· καὶ φόνοι οὕτως οὐκ
justly to-be-rich and temperately and murders so not
ἂν γίγνοιντο ἐν πόλεσιν φόνοις δεόμενοι καθαίρεσθαι.
— would-come-about in cities with-murders needing to-be-purified
νῦν δέ, ὅπερ ἀρχόμενοι τούτων εἴπομεν, ἓν μὲν τοῦτ' d
now and which-very beginning of-these we-said one indeed this
ἐστὶ καὶ μέγιστον ὃ ποιεῖ φόνου ἑκουσίου τὰς μεγίστας
is and greatest which makes of-murder voluntary the greatest
δίκας. δεύτερον δὲ φιλοτίμου ψυχῆς ἕξις, φθόνους
suits second and of-ambitious soul condition envies
ἐντίκτουσα, χαλεποὺς συνοίκους μάλιστα μὲν αὐτῷ τῷ
engendering harsh housemates most indeed for-himself the
κεκτημένῳ τὸν φθόνον, δευτέροις δὲ τοῖς ἀρίστοις τῶν ἐν
having-acquired the envy second and for-the best of-the in
τῇ πόλει. τρίτον δὲ οἱ δειλοὶ καὶ ἄδικοι φόβοι πολλοὺς δὴ
the city third and the cowardly and unjust fears many indeed
φόνους εἰσὶν ἐξειργασμένοι, ὅταν ᾖ τῳ πραττόμενα ἢ
murders have produced whenever be by-someone being-done or
πεπραγμένα ἃ μηδένα βούλονταί σφισιν συνειδέναι
having-been-done which-things no-one they-wish for-them to-know-with
γιγνόμενα ἢ γεγονότα· τοὺς οὖν τούτων μηνυτὰς ἀναιροῦσι
happening or having-happened the then of-these informers they-destroy
θανάτοις, ὅταν ἄλλῳ μηδενὶ δύνωνται τρόπῳ. τούτων
by-deaths whenever by-other no they-are-able way of-these
δὴ πάντων πέρι προοίμια μὲν εἰρημένα ταῦτ' ἔστω,
indeed all about preludes indeed said these-things let-be
καὶ πρὸς τούτοις, ὃν καὶ πολλοὶ λόγον τῶν ἐν ταῖς
and besides these which also many argument of-the in the

τελεταῖς περὶ τὰ τοιαῦτα ἐσπουδακότων ἀκούοντες σφόδρα
initiations about the such-things being-earnest hearing very
πείθονται, τὸ τῶν τοιούτων τίσιν ἐν Ἅιδου γίγνεσθαι, καὶ
believe the of-the such-things retribution in Hades to-take-place and
πάλιν ἀφικομένοις δεῦρο ἀναγκαῖον εἶναι τὴν κατὰ φύσιν
again having-come here necessary to-be the according-to nature
δίκην ἐκτεῖσαι, τὴν τοῦ παθόντος ἅπερ αὐτὸς ἔδρασεν,
penalty to-pay the of-the having-suffered which-very he-himself did
ὑπ᾽ ἄλλου τοιαύτῃ μοίρᾳ τελευτῆσαι τὸν τότε βίον.
by another such fate to-die the then life

VII · WILLFUL MURDER

The murderer is barred from temples, market, and assemblies; tried and convicted, he dies and is not buried in the land. A slave who kills a free man is executed at the dead man's tomb. Whoever kills father, mother, brother, or child is put to death, stoned at a crossroads, and cast out unburied. The suicide is buried alone in an unmarked place, and a beast that kills a man is tried, killed, and cast out.

871 ΑΤΗ. πειθομένῳ μὲν δὴ καὶ πάντως φοβουμένῳ ἐξ
for-the-one-obeying indeed indeed and altogether fearing from
αὐτοῦ τοῦ προοιμίου τὴν τοιαύτην δίκην οὐδὲν δεῖ
itself the prelude the such penalty nothing one-must
τὸν ἐπὶ τούτῳ νόμον ὑμνεῖν, ἀπειθοῦντι δὲ νόμος ὅδε
the on this law to-hymn for-the-disobeying and law this
εἰρήσθω τῇ γραφῇ· ὃς ἂν ἐκ προνοίας τε καὶ ἀδίκως
let-be-said in-the writing whoever — from forethought both and unjustly
ὁντινανοῦν τῶν ἐμφυλίων αὐτόχειρ κτείνῃ, πρῶτον μὲν
any-whatever of-the kinsmen by-his-own-hand kill first indeed
τῶν νομίμων εἰργέσθω, μήτε ἱερὰ μήτε ἀγορὰν μήτε
from-the customary-places let-him-be-kept neither sanctuaries nor market-place nor

λιμένας μήτε ἄλλον κοινὸν σύλλογον μηδένα μιαίνων, ἐάντε
harbors nor other common gathering none polluting whether
τις ἀπαγορεύῃ τῷ δράσαντι ταῦτα ἀνθρώπων καὶ ἐὰν
anyone forbid the doer these-things of-men and if
μή — ὁ γὰρ νόμος ἀπαγορεύει καὶ ἀπαγορεύων ὑπὲρ
not the for law forbids and forbidding on-behalf-of
πάσης τῆς πόλεως ἀεὶ φαίνεταί τε καὶ φανεῖται — ὁ δὲ
all the city always appears both and will-appear the and
μὴ ἐπεξιὼν δέον, ἢ μὴ προαγορεύων εἴργεσθαι, τῶν ἐντὸς
not prosecuting needful or not proclaiming to-be-kept-away of-the within
ἀνεψιότητος, πρὸς ἀνδρῶν τε καὶ γυναικῶν προσήκων
cousinhood on-the-side-of men both and women related
τῷ τελευτήσαντι, πρῶτον μὲν τὸ μίασμα εἰς αὑτὸν καὶ
to-the dead first indeed the pollution to himself and
τὴν τῶν θεῶν ἔχθραν δέχοιτο, ὡς ἡ τοῦ νόμου ἀρὰ
the of-the gods enmity would-receive as the of-the law curse
τὴν φήμην προτρέπεται, τὸ δὲ δεύτερον ὑπόδικος τῷ
the saying urges the and second liable for-the
ἐθέλοντι τιμωρεῖν ὑπὲρ τοῦ τελευτήσαντος γιγνέσθω.
willing to-avenge on-behalf-of the dead let-him-be
ὁ δὲ ἐθέλων τιμωρεῖν, τῶν τε ἐπὶ τούτοις λουτρῶν c
the and willing to-avenge of-the both for these washings
φυλακῆς πέρι καὶ ὅσων ἂν ἑτέρων ὁ θεὸς περὶ ταῦτα
guarding about and as-many-as — other the god about these-things
νόμιμα παραδῷ, πάντα ἀποτελῶν, καὶ τὴν πρόρρησιν
customs hand-down all accomplishing and the proclamation
προαγορεύων, ἴτω ἀναγκάζων τὸν δράσαντα ὑπέχειν
proclaiming let-him-go compelling the doer to-undergo
τὴν τῆς δίκης πρᾶξιν κατὰ νόμον. ταῦτα δὲ ὅτι μὲν
the of-the justice execution according-to law these-things and that indeed
γίγνεσθαι χρεών ἐστι διά τινων ἐπευχῶν καὶ θυσιῶν
to-come-about needful it-is through some prayers and sacrifices

θεοῖς τισιν οἷς τῶν τοιούτων μέλει, φόνους μὴ γίγνεσθαι
to-gods some to-whom of-the such-things is-a-care murders not to-happen
κατὰ πόλεις, ῥᾴδιον ἀποφαίνεσθαι νομοθέτῃ· τίνες δ'
in cities easy to-declare for-lawgiver who and
εἰσὶν οἱ θεοὶ καὶ τίς ὁ τρόπος τῶν τοιούτων δικῶν
are the gods and what the manner of-the such suits
τῆς εἰσαγωγῆς ὀρθότατα πρὸς τὸ θεῖον ἂν γιγνόμενος
of-the introduction most-rightly toward the divine — being-done
εἴη, νομοφύλακες μετ' ἐξηγητῶν καὶ μάντεων καὶ τοῦ
would-be law-guardians with interpreters and seers and the
θεοῦ νομοθετησάμενοι, τὰς δίκας εἰσαγόντων ταύτας.
god having-legislated the suits let-them-introduce these
δικαστὰς δὲ αὐτῶν εἶναι τοὺς αὐτοὺς οὕσπερ τοῖς τὰ
judges and of-them to-be the same whom-very for-the the
ἱερὰ συλῶσιν διαδικάζειν ἐρρήθη κυρίως· ὁ δὲ
sacred-things robbing to-decide it-was-said with-authority the and
ὀφλὼν θανάτῳ ζημιούσθω καὶ μὴ ἐν τῇ τοῦ παθόντος
convicted with-death let-him-be-punished and not in the of-the having-suffered
χώρᾳ θαπτέσθω, ἀναιδείας ἕνεκα πρὸς τῷ ἀσεβεῖν.
country let-him-be-buried of-shamelessness for-the-sake besides the to-be-impious
e φυγὼν δὲ καὶ μὴ 'θελήσας κρίσιν ὑποσχεῖν φευγέτω
having-fled and and not having-wished trial to-undergo let-him-be-exiled
ἀειφυγίαν· ἐὰν δέ τις ἐπιβῇ που τῶν τῆς τοῦ φονευθέντος
perpetual-exile if and anyone set-foot anywhere of-the of-the of-the murdered
χώρας, ὁ προστυχὼν πρῶτος τῶν οἰκείων τοῦ ἀποθανόντος
country the meeting first of-the kinsmen of-the dead
ἢ καὶ τῶν πολιτῶν ἀνατὶ κτεινέτω, ἢ δήσας τοῖς
or also of-the citizens with-impunity let-him-kill or having-bound to-the
ἄρχουσι τῶν τὴν δίκην κρινάντων κτεῖναι παραδότω. ὁ
officials of-the the suit having-judged to-kill let-him-hand-over the
δὲ ἐπισκηπτόμενος ἅμα καὶ κατεγγυάτω τὸν ᾧ ἂν
and accusing at-once also let-him-demand-surety-from the whom —

ἐπισκήπτηται· ὁ δὲ παρεχέτω τοὺς ἐγγυητάς, ἀξιόχρεως οὓς
he-accuse the and let-him-provide the sureties sufficient whom
ἂν ἡ τῶν περὶ ταῦτα δικαστῶν ἀρχὴ κρίνῃ, τρεῖς ἐγγυητὰς
— the of-the about these-things judges office judge three sureties
ἀξιόχρεως παρέξειν ἐγγυωμένους εἰς δίκην· ἐὰν δὲ ἢ μὴ
sufficient to-provide guaranteeing to trial if and either not
ἐθέλῃ ἢ ἀδυνατῇ τις καθιστάναι, τὴν ἀρχὴν παραλαβοῦσαν
be-willing or be-unable anyone to-provide the office having-taken
δήσασαν φυλάττειν καὶ παρέχειν εἰς τὴν κρίσιν τῆς δίκης.
having-bound to-guard and to-produce for the judgment of-the suit
ἐὰν δὲ αὐτόχειρ μὲν μή, βουλεύσῃ δὲ θάνατόν τις ἄλλος 872
if and by-his-own-hand indeed not plan and death any other
ἑτέρῳ καὶ τῇ βουλήσει τε καὶ ἐπιβουλεύσει ἀποκτείνας
for-another and by-the wishing both and plotting having-killed
αἴτιος ὢν καὶ μὴ καθαρὸς τὴν ψυχὴν τοῦ φόνου ἐν πόλει
cause being and not pure the soul of-the murder in city
ἐνοικῇ, γιγνέσθων καὶ τούτῳ κατὰ ταὐτὰ αἱ κρίσεις
dwell let-there-be also for-this according-to the-same the trials
τούτων πέρι πλὴν τῆς ἐγγύης, τῷ δὲ ὀφλόντι ταφῆς τῆς
these about except the surety for-the and convicted burial the
οἰκείας ἐξέστω τυχεῖν, τὰ δὲ ἄλλα κατὰ ταὐτὰ
own let-it-be-allowed to-obtain the-things and other according-to the-same
ὡσαύτως τῷ πρόσθεν ῥηθέντι περὶ αὐτὸν γιγνέσθω. τὰ
likewise as-the before said about him let-come-about the
αὐτὰ δὲ ἔστω ταῦτα ξένοισί τε πρὸς ξένους καὶ
same-things and let-be these-things for-foreigners both against foreigners and
ἀστοῖσι καὶ ξένοις πρὸς ἀλλήλους, δούλοις τε αὖ πρὸς
for-townsmen and foreigners against one-another for-slaves both again against
δούλους, τῆς τε αὐτοχειρίας πέρι καὶ ἐπιβουλεύσεως, πλὴν
slaves of-the both own-hand-killing about and of-plotting except
τῆς ἐγγύης· ταύτην δέ, καθάπερ εἴρηται, τοὺς αὐτόχειρας
the surety this and as has-been-said the own-hand-killers

κατεγγυᾶσθαι, τὸν δὲ προαγορεύοντα τὸν φόνον ἅμα
to-be-bound-by-surety the and proclaiming the murder at-once
κατεγγυᾶν καὶ τούτους. ἐὰν δὲ δοῦλος ἐλεύθερον ἑκών,
to-bind-by-surety also these if and slave free-man willingly
εἴτε αὐτόχειρ εἴτε βουλεύσας, ἀποκτείνῃ καὶ ὄφλῃ
whether by-his-own-hand or having-planned kill and be-convicted
τὴν δίκην, ὁ τῆς πόλεως κοινὸς δήμιος ἄγων πρὸς
the suit the of-the city public executioner leading to
τὸ μνῆμα τοῦ ἀποθανόντος, ὅθεν ἂν ὁρᾷ τὸν τύμβον,
the tomb of-the dead whence — he-sees the mound
μαστιγώσας ὁπόσας ἂν ὁ ἑλὼν προστάττῃ, ἐάνπερ
having-whipped how-many — the having-convicted enjoin if-indeed
βιῷ παιόμενος ὁ φονεύς, θανατωσάτω. ἐὰν δέ τις
he-live being-beaten the murderer let-him-put-to-death if and anyone
δοῦλον κτείνῃ μηδὲν ἀδικοῦντα, φόβῳ δὲ μὴ μηνυτὴς
slave kill nothing wronging through-fear and lest informer
αἰσχρῶν ἔργων καὶ κακῶν αὐτοῦ γίγνηται, ἤ τινος
of-shameful deeds and bad of-him become or some
ἕνεκα ἄλλου τοιούτου, καθάπερ ἂν εἰ πολίτην κτείνας
for-the-sake other such as — if citizen having-killed
ὑπεῖχε φόνου δίκας, ὡσαύτως καὶ τοῦ τοιούτου
he-would-be-liable of-murder suits likewise also of-the such
δούλου κατὰ τὰ αὐτὰ ἀποθανόντος οὕτως ὑπεχέτω.
slave according-to the same-things having-died so let-him-be-liable
d ἐὰν δὲ δὴ γίγνηται ἐφ' οἷσι καὶ νομοθετεῖν δεινὸν καὶ
if and indeed come-about on which-things also to-legislate terrible and
οὐδαμῶς προσφιλές, μὴ νομοθετεῖν δὲ ἀδύνατον, συγγενῶν
in-no-way pleasant not to-legislate and impossible of-kin
αὐτόχειρας φόνους ἢ δι' ἐπιβουλεύσεως γενομένους,
by-own-hand murders or through plotting having-come-about
ἑκουσίους τε καὶ ἀδίκους πάντως, οἳ τὰ μὲν πολλὰ
τοῦ τοιούτου πάντα ἠρτημένα τά τε εἰρημένα κακὰ
the such all hanging the-things both said evils
γέγονε καὶ ἔστι καὶ ἔσται. μέγιστα δὲ δὴ τῶν
have-come-about and are and will-be greatest and indeed of-the
λοιπῶν αἱ τῶν νέων ἀκολασίαι τε καὶ ὕβρεις, εἰς μέγιστα
remaining the of-the young licentiousness both and outrages to greatest
δέ, ὅταν εἰς ἱερὰ γίγνωνται, καὶ διαφερόντως αὖ
and whenever to sanctuaries they-come-about and exceptionally again
μεγάλα, ὅταν εἰς δημόσια καὶ ἅγια ἢ κατὰ μέρη
great whenever to public and holy-things or by parts
κοινὰ φυλετῶν ἤ τινων ἄλλων τοιούτων κεκοινωνηκότων·
common of-tribesmen or of-some other such having-shared

885 εἰς ἱερὰ δὲ ἴδια καὶ τάφους δεύτερα καὶ δευτέρως,
to sanctuaries and private and tombs second and secondarily
εἰς δὲ γονέας τρίτα, χωρὶς τῶν ἔμπροσθεν εἰρημένων,
to and parents third apart-from the before said
ὅταν ὑβρίζῃ τις. τέταρτον δὲ γένος ὕβρεως, ὅταν
whenever commit-outrage anyone fourth and kind of-outrage whenever
ἀφροντιστῶν τις ἀρχόντων ἄγῃ ἢ φέρῃ ἢ χρῆταί
disregarding anyone officials lead or carry or use
τινι τῶν ἐκείνων μὴ πείσας αὐτούς, πέμπτον δὲ
anything of-the those not having-persuaded them fifth and
τὸ πολιτικὸν ἂν εἴη ἑκάστου τῶν πολιτῶν ὑβρισθὲν
the political — would-be of-each of-the citizens outraged
δίκην ἐπικαλούμενον. οἷς δὴ δοτέον εἰς κοινὸν νόμον
justice calling-for to-which indeed must-be-given into common law
ἑκάστοις. ἱεροσυλία μὲν γὰρ εἴρηται συλλήβδην, βίαιός
to-each temple-robbery indeed for has-been-told collectively violent
τε καὶ λάθρᾳ ἐὰν γίγνηται, τί χρὴ πάσχειν· ὅσα δὲ
both and secretly if it-happen what one-must to-suffer as-many-as and
λόγῳ καὶ ὅσα ἔργῳ περὶ θεοὺς ὑβρίζει τις λέγων
in-word and as-many-as in-deed about gods commits-outrage anyone saying
ἢ πράττων, τὸ παραμύθιον ὑποθεμένῳ ῥητέον ἃ
or doing the encouragement having-laid-down must-be-said which-things
δεῖ πάσχειν. ἔστω δὴ τόδε. θεοὺς ἡγούμενος εἶναι
one-must to-suffer let-it-be indeed this gods believing to-be
κατὰ νόμους οὐδεὶς πώποτε οὔτε ἔργον ἀσεβὲς ἠργάσατο
according-to laws no-one ever neither deed impious did
ἑκὼν οὔτε λόγον ἀφῆκεν ἄνομον, ἀλλὰ ἓν δή τι τῶν
willingly nor word let-go lawless but one indeed some of-the
τριῶν πάσχων, ἢ τοῦτο, ὅπερ εἶπον, οὐχ ἡγούμενος,
three suffering either this which-very I-said not believing

ἢ τὸ δεύτερον ὄντας οὐ φροντίζειν ἀνθρώπων, ἢ τρίτον
or the second being not to-care-for men or third
εὐπαραμυθήτους εἶναι θυσίαις τε καὶ εὐχαῖς παραγομένους.
easily-appeased to-be by-sacrifices both and by-prayers being-led-aside
CLIN. τί οὖν δὴ δρῷμεν ἂν ἢ καὶ λέγοιμεν πρὸς αὐτούς; c
what then indeed would-we-do — or also would-we-say to them
ATH. ὠγαθέ, ἐπακούσωμεν αὐτῶν πρῶτον ἃ
my-good-man let-us-hear them first which-things
τῷ καταφρονεῖν ἡμῶν προσπαίζοντας αὐτοὺς λέγειν
by-the despising us jesting them to-say
μαντεύομαι.
I-divine
CLIN. ποῖα δή;
what-sort indeed
ATH. ταῦτα τάχ' ἂν ἐρεσχηλοῦντες εἴποιεν· ὦ ξένε Ἀθηναῖε d
these-things perhaps — teasing would-say O stranger Athenian
καὶ Λακεδαιμόνιε καὶ Κνώσιε, ἀληθῆ λέγετε. ἡμῶν γὰρ
and Lacedaemonian and Cnossian true-things you-say of-us for
οἱ μὲν τὸ παράπαν θεοὺς οὐδαμῶς νομίζομεν, οἱ δὲ
the(-ones) indeed the altogether gods in-no-way believe-in the(-others) and
οἵους ὑμεῖς λέγετε. ἀξιοῦμεν δή, καθάπερ ὑμεῖς ἠξιώκατε
such-as you say we-think-fit indeed as you have-thought-fit
περὶ νόμων, πρὶν ἀπειλεῖν ἡμῖν σκληρῶς, ὑμᾶς πρότερον
about laws before to-threaten us harshly you first
ἐπιχειρεῖν πείθειν καὶ διδάσκειν ὡς εἰσὶ θεοί, τεκμήρια
to-attempt to-persuade and to-teach that are gods proofs
λέγοντες ἱκανά, καὶ ὅτι βελτίους ἢ παρὰ τὸ δίκαιον ὑπό
saying sufficient and that better than against the just by
τινων δώρων παρατρέπεσθαι κηλούμενοι. νῦν μὲν γὰρ
some gifts to-be-turned-aside being-charmed now indeed for
ταῦτα ἀκούοντές τε καὶ τοιαῦθ' ἕτερα τῶν λεγομένων
these-things hearing both and such other-things of-the said

ἀρίστων εἶναι ποιητῶν τε καὶ ῥητόρων καὶ μάντεων καὶ
best to-be of-poets both and of-orators and of-seers and
ἱερέων καὶ ἄλλων μυριάκις μυρίων, οὐκ ἐπὶ τὸ μὴ δρᾶν
of-priests and of-others ten-thousand-times ten-thousand not to the not to-do
τὰ ἄδικα τρεπόμεθα οἱ πλεῖστοι, δράσαντες δ' ἐξακεῖσθαι
the unjust-things we-turn the most having-done and to-make-amends
πειρώμεθα. παρὰ δὲ δὴ νομοθετῶν, φασκόντων εἶναι μὴ
we-try from and indeed lawgivers claiming to-be not
ἀγρίων ἀλλὰ ἡμέρων, ἀξιοῦμεν πειθοῖ πρῶτον χρῆσθαι
savage but gentle we-think-fit with-persuasion first to-use
πρὸς ἡμᾶς, εἰ μὴ πολλῷ βελτίω τῶν ἄλλων λέγοντας
toward us if not by-much better than-the others speaking
περὶ θεῶν ὡς εἰσίν, ἀλλ' οὖν βελτίω γε πρὸς ἀλήθειαν,
about gods that they-are but then better at-least toward truth
καὶ τάχα πειθοίμεθ' ἂν ἴσως ὑμῖν. ἀλλ' ἐπιχειρεῖτε,
and perhaps we-might-be-persuaded — perhaps by-you but attempt
εἴ τι μέτριον λέγομεν, εἰπεῖν ἃ προκαλούμεθα.
if anything moderate we-say to-say which-things we-challenge

CLIN. οὐκοῦν, ὦ ξένε, δοκεῖ ῥᾴδιον εἶναι ἀληθεύοντας λέγειν
therefore O stranger it-seems easy to-be speaking-truly to-say
ὡς εἰσὶν θεοί;
that are gods

886 ATH. πῶς;
how

CLIN. πρῶτον μὲν γῆ καὶ ἥλιος ἄστρα τε καὶ τὰ
first indeed earth and sun stars both and the
σύμπαντα, καὶ τὰ τῶν ὡρῶν διακεκοσμημένα καλῶς
all and the-things of-the seasons arranged finely
οὕτως, ἐνιαυτοῖς τε καὶ μησὶν διειλημμένα· καὶ ὅτι
so by-years both and by-months divided and that
πάντες Ἕλληνές τε καὶ βάρβαροι νομίζουσιν εἶναι θεούς.
all Greeks both and barbarians believe to-be gods

ATH. φοβοῦμαί γε, ὦ μακάριε, τοὺς μοχθηρούς — οὐ b
I-fear at-least O blessed-one the wicked not
γὰρ δή ποτε εἴποιμ' ἂν ὡς γε αἰδοῦμαι — μή πως
for indeed ever I-would-say — that at-least I-feel-shame lest somehow
ἡμῶν καταφρονήσωσιν. ὑμεῖς μὲν γὰρ οὐκ ἴστε αὐτῶν
us they-despise you indeed for not know them
πέρι τὴν τῆς διαφορᾶς αἰτίαν, ἀλλ' ἡγεῖσθε ἀκρατείᾳ
about the of-the difference cause but you-think by-incontinence
μόνον ἡδονῶν τε καὶ ἐπιθυμιῶν ἐπὶ τὸν ἀσεβῆ βίον
only of-pleasures both and desires to the impious life
ὁρμᾶσθαι τὰς ψυχὰς αὐτῶν.
to-rush the souls of-them
CLIN. τὸ δὲ τί πρὸς τούτοις αἴτιον ἄν, ὦ ξένε, εἴη;
the and what besides these cause — O stranger would-be
ATH. σχεδὸν ὃ παντάπασιν ὑμεῖς ἔξω ζῶντες οὐκ ἂν
nearly what altogether you outside living not —
εἰδείητε, ἀλλὰ ὑμᾶς ἂν λανθάνοι.
would-know but you — it-would-escape
CLIN. τί δὴ τοῦτο φράζεις τὰ νῦν;
what indeed this do-you-declare the now
ATH. ἀμαθία τις μάλα χαλεπή, δοκοῦσα εἶναι μεγίστη
ignorance some very harsh seeming to-be greatest
φρόνησις.
prudence
CLIN. πῶς λέγεις;
how do-you-mean
ATH. εἰσὶν ἡμῖν ἐν γράμμασιν λόγοι κείμενοι, οἳ παρ' c
are among-us in writings arguments lying which among
ὑμῖν οὐκ εἰσὶν δι' ἀρετὴν πολιτείας, ὡς ἐγὼ μανθάνω,
you not are because-of virtue of-constitution as I understand
οἱ μὲν ἔν τισι μέτροις, οἱ δὲ καὶ ἄνευ μέτρων
the(-ones) indeed in some meters the(-others) and also without meters

λέγοντες περὶ θεῶν, οἱ μὲν παλαιότατοι ὡς γέγονεν
speaking about gods the(-ones) indeed most-ancient how came-about
ἡ πρώτη φύσις οὐρανοῦ τῶν τε ἄλλων, προϊόντες δὲ
the first nature of-heaven of-the both others advancing and
τῆς ἀρχῆς οὐ πολὺ θεογονίαν διεξέρχονται, γενόμενοί
from-the beginning not far theogony go-through having-come-about
τε ὡς πρὸς ἀλλήλους ὡμίλησαν· ἃ τοῖς ἀκούουσιν
both how toward one-another they-consorted which-things for-the hearers
εἰ μὲν εἰς ἄλλο τι καλῶς ἢ μὴ καλῶς ἔχει, οὐ ῥᾴδιον
if indeed for other something well or not well it-is not easy
ἐπιτιμᾶν παλαιοῖς οὖσιν, εἰς μέντοι γονέων τε θεραπείας
to-censure ancient being for however of-parents both care
καὶ τιμὰς οὐκ ἂν ἔγωγέ ποτε ἐπαινῶν εἴποιμι οὔτε ὡς
and honors not — I-for-my-part ever praising would-say neither as
ὠφέλιμα οὔτε ὡς τὸ παράπαν ὄντως εἴρηται. τὰ
beneficial nor as the altogether truly it-has-been-said the-things
μὲν οὖν δὴ τῶν ἀρχαίων πέρι μεθείσθω καὶ χαιρέτω, καὶ
indeed then indeed of-the ancients about let-be-let-go and let-fare-well and
ὅπῃ θεοῖσιν φίλον, λεγέσθω ταύτῃ· τὰ δὲ τῶν
in-whatever-way to-gods dear let-be-told in-this-way the-things and of-the
νέων ἡμῖν καὶ σοφῶν αἰτιαθήτω ὅπῃ κακῶν αἴτια. τόδε
young for-us and wise let-be-blamed where of-evils causes this
οὖν οἱ τῶν τοιούτων ἐξεργάζονται λόγοι· ἐμοῦ γὰρ καὶ
then the of-the such produce arguments of-me for and
σοῦ, ὅταν τεκμήρια λέγωμεν ὡς εἰσὶν θεοί, ταῦτα αὐτὰ
of-you whenever proofs we-say that are gods these-things themselves
προφέροντες, ἥλιόν τε καὶ σελήνην καὶ ἄστρα καὶ γῆν ὡς
bringing-forward sun both and moon and stars and earth as
θεοὺς καὶ θεῖα ὄντα, ὑπὸ τῶν σοφῶν τούτων ἀναπεπεισμένοι
gods and divine being by the wise these persuaded
ἂν λέγοιεν ὡς γῆν τε καὶ λίθους ὄντα αὐτὰ καὶ οὐδὲν
— they-would-say that earth both and stones being them and nothing

τῶν ἀνθρωπείων πραγμάτων φροντίζειν δυνάμενα, λόγοισι
of-the human affairs to-care-for able by-arguments
δὲ ταῦτα εὖ πως εἰς τὸ πιθανὸν περιπεπεμμένα.
and these-things well somehow to the persuasive dressed-up
CLIN. χαλεπόν γε λόγον, ὦ ξένε, εἰρηκὼς τυγχάνεις, εἴ
hard at-least argument O stranger having-spoken you-happen if
γε εἷς ἦν μόνον· νῦν δὲ ὅτε πάμπολλοι τυγχάνουσιν,
at-least one it-were only now and when very-many they-happen
ἔτι χαλεπώτερον ἂν εἴη.
still harder — would-be

II · NATURE, CHANCE, AND ART

They must answer the unbelievers, though anger is hard to restrain against men who reject the stories they heard from mothers and nurses and the prayers of Greeks and barbarians at the sun's rising and setting. The Athenian advises the young man to wait, since no one who held this view young kept it into old age. The doctrine is set out: the greatest things come from nature and chance, the elements, the heavens, and living things, and art comes later, mortal and making toys, so that politics and legislation are art and not nature.

ATH. τί οὖν δή; τί λέγομεν; τί χρὴ δρᾶν ἡμᾶς; 887
what then indeed what do-we-say what one-must to-do us
πότερον ἀπολογησώμεθα οἷον κατηγορήσαντός τινος ἐν
whether let-us-defend-ourselves as-if having-accused someone among
ἀσεβέσιν ἀνθρώποις ἡμῶν, φεύγουσι περὶ τῆς νομοθεσίας
impious men of-us being-prosecuted about the legislation
λέγουσιν ὡς δεινὰ ἐργαζόμεθα νομοθετοῦντες ὡς ὄντων
saying that terrible-things we-do legislating as being
θεῶν; ἢ χαίρειν ἐάσαντες ἐπὶ τοὺς νόμους τρεπώμεθα
gods or to-fare-well having-let to the laws let-us-turn

πάλιν, μὴ καὶ τὸ προοίμιον ἡμῖν μακρότερον γίγνηται τῶν
again lest also the prelude for-us longer become than-the
νόμων; οὐ γάρ τι βραχὺς ὁ λόγος ἐκταθεὶς ἂν γίγνοιτο,
laws not for at-all brief the argument extended — would-become
εἰ τοῖσιν ἐπιθυμοῦσιν ἀσεβεῖν τὰ μὲν ἀποδείξαιμεν
if to-those desiring to-be-impious the(-ones) indeed we-should-demonstrate
μετρίως τοῖς λόγοις ὧν ἔφραζον δεῖν πέρι λέγειν,
moderately by-the arguments of-which they-declared to-be-necessary about to-speak
τὸν δὲ εἰς φόβον τρέψαιμεν, τὰ δὲ δυσχεραίνειν
the(-other) and into fear we-should-turn the(-others) and to-be-disgusted
ποιήσαντες, ὅσα πρέπει μετὰ ταῦτα ἤδη νομοθετοῖμεν.
having-made as-many-as is-fitting after these-things already we-should-legislate

b CLIN. ἀλλ', ὦ ξένε, πολλάκις μὲν ὥς γε ἐν ὀλίγῳ
but O stranger often indeed as at-least in little
χρόνῳ τοῦτ' αὐτὸ εἰρήκαμεν, ὡς οὐδὲν ἐν τῷ παρόντι
time this itself we-have-said that nothing in the present
δεῖ προτιμᾶν βραχυλογίαν μᾶλλον ἢ μῆκος — οὐδεὶς
one-must to-prefer brevity rather than length no-one
γὰρ ἡμᾶς, τὸ λεγόμενον, ἐπείγων διώκει — γελοῖον
for us the being-said pressing pursues ridiculous
δὴ καὶ φαῦλον τὸ πρὸ τῶν βελτίστων τὰ βραχύτερα
indeed and paltry the before the best the briefer
αἱρουμένους φαίνεσθαι. διαφέρει δ' οὐ σμικρὸν ἁμῶς γέ
choosing to-appear it-matters and not little somehow at-least
πως πιθανότητά τινα τοὺς λόγους ἡμῶν ἔχειν, ὡς
in-some-way persuasiveness some the arguments of-us to-have that
θεοί τ' εἰσὶν καὶ ἀγαθοί, δίκην τιμῶντες διαφερόντως
gods both are and good justice honoring exceedingly
ἀνθρώπων· σχεδὸν γὰρ τοῦτο ἡμῖν ὑπὲρ ἁπάντων τῶν
than-men nearly for this for-us on-behalf-of all of-the
νόμων κάλλιστόν τε καὶ ἄριστον προοίμιον ἂν εἴη.
laws finest both and best prelude — would-be

μηδὲν οὖν δυσχεράναντες μηδὲ ἐπειχθέντες, ἤντινά ποτε
nothing then having-been-disgusted nor having-hurried whatever ever
ἔχομεν δύναμιν εἰς πειθὼ τῶν τοιούτων λόγων, μηδὲν
we-have power toward persuasion of-the such arguments nothing
ἀποθέμενοι διεξέλθωμεν εἰς τὸ δυνατὸν ἱκανῶς.
having-set-aside let-us-go-through to the possible sufficiently
ΑΘΗ. εὐχήν μοι δοκεῖ παρακαλεῖν ὁ λεγόμενος ὑπὸ σοῦ d
prayer to-me seems to-call-for the being-said by you
νῦν λόγος, ἐπειδὴ προθύμως συντείνεις· μέλλειν δὲ οὐκέτι
now argument since eagerly you-exert-yourself to-delay and no-longer
ἐγχωρεῖ λέγειν. φέρε δή, πῶς ἄν τις μὴ θυμῷ λέγοι
is-possible to-speak come indeed how — anyone not with-anger would-speak
περὶ θεῶν ὡς εἰσίν; ἀνάγκη γὰρ δὴ χαλεπῶς φέρειν
about gods that they-are necessity for indeed with-difficulty to-bear
καὶ μισεῖν ἐκείνους οἳ τούτων ἡμῖν αἴτιοι τῶν λόγων
and to-hate those who of-these for-us causes of-the arguments
γεγένηνται καὶ γίγνονται νῦν, οὐ πειθόμενοι τοῖς μύθοις
have-become and become now not being-persuaded by-the stories
οὓς ἐκ νέων παίδων ἔτι ἐν γάλαξι τρεφόμενοι τροφῶν τε
which from young children still on milk being-nourished from-nurses both
ἤκουον καὶ μητέρων, οἷον ἐν ἐπῳδαῖς μετά τε παιδιᾶς
they-heard and from-mothers as-it-were in incantations with both play
καὶ μετὰ σπουδῆς λεγομένων καὶ μετὰ θυσιῶν ἐν εὐχαῖς
and with seriousness being-told and with sacrifices in prayers
αὐτοὺς ἀκούοντές τε, καὶ ὄψεις ὁρῶντες ἑπομένας αὐτοῖς
them hearing both and sights seeing following them
ἃς ἥδιστα ὅ γε νέος ὁρᾷ τε καὶ ἀκούει πραττομένας
which most-pleasantly the at-least young sees both and hears being-performed
θυόντων, ἐν σπουδῇ τῇ μεγίστῃ τοὺς αὑτῶν γονέας ὑπὲρ
sacrificing in seriousness the greatest the their-own parents on-behalf-of
αὑτῶν τε καὶ ἐκείνων ἐσπουδακότας, ὡς ὅτι μάλιστα
themselves both and those being-in-earnest as as most

οὖσιν θεοῖς εὐχαῖς προσδιαλεγομένους καὶ ἱκετείαις,
being gods with-prayers conversing and with-supplications
ἀνατέλλοντός τε ἡλίου καὶ σελήνης καὶ πρὸς δυσμὰς
rising both of-sun and of-moon and toward settings
ἰόντων προκυλίσεις ἅμα καὶ προσκυνήσεις ἀκούοντές τε
going prostrations at-once and obeisances hearing both
καὶ ὁρῶντες Ἑλλήνων τε καὶ βαρβάρων πάντων ἐν
and seeing of-Greeks both and of-barbarians all in
συμφοραῖς παντοίαις ἐχομένων καὶ ἐν εὐπραγίαις, οὐχ
misfortunes of-every-kind being-held and in prosperities not
ὡς οὐκ ὄντων ἀλλ' ὡς ὅτι μάλιστα ὄντων καὶ οὐδαμῇ
as not being but as as most being and in-no-way
ὑποψίαν ἐνδιδόντων ὡς οὐκ εἰσὶν θεοί —
suspicion giving that not are gods
888 τούτων δὴ πάντων ὅσοι καταφρονήσαντες οὐδὲ ἐξ
these indeed all as-many-as having-despised not-even from
ἑνὸς ἱκανοῦ λόγου, ὡς φαῖεν ἂν ὅσοι καὶ σμικρὸν
one sufficient reason as they-would-say — as-many-as even little
νοῦ κέκτηνται, νῦν ἀναγκάζουσιν ἡμᾶς λέγειν ἃ λέγομεν,
of-sense have-acquired now compel us to-say what we-say
πῶς τούτους ἄν τις ἐν πραέσι λόγοις δύναιτο νουθετῶν
how these — anyone in gentle words would-be-able admonishing
ἅμα διδάσκειν περὶ θεῶν πρῶτον ὡς εἰσίν; τολμητέον δέ· οὐ
at-once to-teach about gods first that they-are one-must-dare and not
γὰρ ἅμα γε δεῖ μανῆναι τοὺς μὲν ὑπὸ λαιμαργίας
for together at-least one-must to-go-mad the(-ones) indeed by gluttony
ἡδονῆς ἡμῶν, τοὺς δ' ὑπὸ τοῦ θυμοῦσθαι τοῖς τοιούτοις.
of-pleasure of-us the(-others) and by the being-angry at-the such
ἴτω δὴ πρόρρησις τοιάδε τις ἄθυμος τοῖς οὕτω τὴν
let-go indeed preface such some passionless to-those so the
διάνοιαν διεφθαρμένοις, καὶ λέγωμεν πρᾴως, σβέσαντες τὸν
mind corrupted and let-us-speak gently having-quenched the

θυμόν, ὡς ἑνὶ διαλεγόμενοι τῶν τοιούτων· ὦ παῖ, νέος εἶ,
anger as to-one conversing of-the such O child young you-are
προϊὼν δέ σε ὁ χρόνος ποιήσει πολλὰ ὧν νῦν δοξάζεις
advancing and you the time will-make many of-which now you-believe
μεταβαλόντα ἐπὶ τἀναντία τίθεσθαι· περίμεινον οὖν εἰς
having-changed to the-opposites to-place wait then until
τότε κριτὴς περὶ τῶν μεγίστων γίγνεσθαι, μέγιστον δέ, ὃ
then judge about the greatest-things to-become greatest and which
νῦν οὐδὲν ἡγῇ σύ, τὸ περὶ τοὺς θεοὺς ὀρθῶς διανοηθέντα
now nothing consider you the about the gods rightly having-thought
ζῆν καλῶς ἢ μή. πρῶτον δὲ περὶ αὐτῶν ἕν τι μέγα
to-live well or not first and about them one some great
σοι μηνύων οὐκ ἄν ποτε φανείην ψευδής, τὸ τοιόνδε.
to-you disclosing not — ever I-would-appear false the such
οὐ σὺ μόνος οὐδὲ οἱ σοὶ φίλοι πρῶτοι καὶ πρῶτον ταύτην c
not you alone nor the your friends first and first this
δόξαν περὶ θεῶν ἔσχετε, γίγνονται δὲ ἀεὶ πλείους ἢ
opinion about gods held come-to-be and always more or
ἐλάττους ταύτην τὴν νόσον ἔχοντες· τόδε τοίνυν σοι,
fewer this the disease having this then to-you
παραγεγονὼς αὐτῶν πολλοῖσι, φράζοιμ᾽ ἄν, τὸ μηδένα
having-been-present of-them with-many I-would-tell — the no-one
πώποτε λαβόντα ἐκ νέου ταύτην τὴν δόξαν περὶ θεῶν, ὡς
ever having-taken from young this the opinion about gods that
οὐκ εἰσίν, διατελέσαι πρὸς γῆρας μείναντα ἐν ταύτῃ τῇ
not they-are to-have-continued to old-age having-remained in this the
διανοήσει, τὰ δύο μέντοι πάθη περὶ θεοὺς μεῖναι, πολλοῖσι
thought the two however conditions about gods to-remain with-many
μὲν οὔ, μεῖναι δὲ οὖν τισιν, τὸ τοὺς θεοὺς εἶναι μέν,
indeed not to-remain but at-any-rate with-some the the gods to-be indeed
φροντίζειν δὲ οὐδὲν τῶν ἀνθρωπίνων, καὶ τὸ μετὰ τοῦτο,
to-care and nothing of-the human-things and the after this

ὡς φροντίζουσι μέν, εὐπαραμύθητοι δ' εἰσὶν θύμασιν καὶ
that they-care indeed easily-appeased but are by-sacrifices and
εὐχαῖς. τὸ δὴ σαφὲς ἂν γενόμενόν σοι περὶ αὐτῶν κατὰ
prayers the indeed clear — having-become to-you about them according-to
δύναμιν δόγμα, ἂν ἐμοὶ πείθῃ, περιμενεῖς, ἀνασκοπῶν
power doctrine if me you-obey you-will-wait examining
εἴτε οὕτως εἴτε ἄλλως ἔχει, πυνθανόμενος παρά τε τῶν
whether so or otherwise it-is inquiring from both the
ἄλλων καὶ δὴ καὶ μάλιστα καὶ παρὰ τοῦ νομοθέτου· ἐν
others and indeed also most-of-all also from the lawgiver in
δὲ δὴ τούτῳ τῷ χρόνῳ μὴ τολμήσῃς περὶ θεοὺς μηδὲν
and indeed this the time not dare about gods anything
ἀσεβῆσαι. πειρατέον γὰρ τῷ τοὺς νόμους σοι τιθέντι
to-commit-impiety one-must-try for for-the the laws for-you laying-down
νῦν καὶ εἰς αὖθις διδάσκειν περὶ αὐτῶν τούτων ὡς ἔχει.
now and into hereafter to-teach about them these how it-is

CLIN. κάλλισθ' ἡμῖν, ὦ ξένε, μέχρι γε τοῦ νῦν εἴρηται.
most-finely by-us O stranger until at-least the now it-has-been-said

ATH. παντάπασι μὲν οὖν, ὦ Μέγιλλέ τε καὶ Κλεινία·
altogether indeed then O Megillus both and Clinias
λελήθαμεν δ' ἡμᾶς αὐτοὺς εἰς θαυμαστὸν λόγον
we-have-escaped-notice and us ourselves into wondrous argument
ἐμπεπτωκότες.
having-fallen

CLIN. τὸν ποῖον δὴ λέγεις;
the what-sort indeed do-you-mean

e ATH. τὸν παρὰ πολλοῖς δοξαζόμενον εἶναι σοφώτατον
the among many being-believed to-be wisest
ἁπάντων λόγων.
of-all arguments

CLIN. φράζ' ἔτι σαφέστερον.
tell still more-clearly

ATH. λέγουσί πού τινες ὡς πάντα ἐστὶ τὰ πράγματα
say surely some that all are the things
γιγνόμενα καὶ γενόμενα καὶ γενησόμενα τὰ μὲν
coming-to-be and having-come-to-be and going-to-come-to-be the(-ones) indeed
φύσει, τὰ δὲ τέχνῃ, τὰ δὲ διὰ τύχην.
by-nature the(-others) and by-art the(-others) and because-of chance
CLIN. οὐκοῦν καλῶς;
therefore well
ATH. εἰκός γέ τοί που σοφοὺς ἄνδρας ὀρθῶς λέγειν· 889
likely at-least you-know surely wise men rightly to-speak
ἑπόμενοί γε μὴν αὐτοῖς σκεψώμεθα τοὺς ἐκεῖθεν τί
following at-least indeed them let-us-consider the from-there what
ποτε καὶ τυγχάνουσι διανοούμενοι.
ever even they-happen thinking
CLIN. πάντως.
by-all-means
ATH. ἔοικε, φασίν, τὰ μὲν μέγιστα αὐτῶν καὶ κάλλιστα
it-seems they-say the(-ones) indeed greatest of-them and finest
ἀπεργάζεσθαι φύσιν καὶ τύχην, τὰ δὲ σμικρότερα
to-produce nature and chance the(-others) and smaller
τέχνην, ἣν δὴ παρὰ φύσεως λαμβάνουσαν τὴν τῶν
art which indeed from nature taking the of-the
μεγάλων καὶ πρώτων γένεσιν ἔργων, πλάττειν καὶ
great and first generation works to-mold and
τεκταίνεσθαι πάντα τὰ σμικρότερα, ἃ δὴ τεχνικὰ
to-fashion all the smaller which indeed artificial
πάντες προσαγορεύομεν.
all we-call
CLIN. πῶς λέγεις;
how do-you-mean

b ATH. ὧδ᾽ ἔτι σαφέστερον ἐρῶ. πῦρ καὶ ὕδωρ καὶ γῆν
thus still more-clearly I-will-say fire and water and earth
καὶ ἀέρα φύσει πάντα εἶναι καὶ τύχῃ φασίν, τέχνῃ
and air by-nature all to-be and by-chance they-say by-art
δὲ οὐδὲν τούτων, καὶ τὰ μετὰ ταῦτα αὖ σώματα, γῆς
but nothing of-these and the after these again bodies of-earth
τε καὶ ἡλίου καὶ σελήνης ἄστρων τε πέρι, διὰ τούτων
both and of-sun and of-moon of-stars and about through these
γεγονέναι παντελῶς ὄντων ἀψύχων· τύχῃ δὲ φερόμενα
to-have-come-about entirely being soulless by-chance and being-carried
τῇ τῆς δυνάμεως ἕκαστα ἑκάστων, ᾗ συμπέπτωκεν
by-the of-the power each of-each where it-has-chanced
ἁρμόττοντα οἰκείως πως, θερμὰ ψυχροῖς ἢ ξηρὰ πρὸς
fitting appropriately somehow hot-things with-cold or dry toward
ὑγρὰ καὶ μαλακὰ πρὸς σκληρά, καὶ πάντα ὁπόσα τῇ τῶν
wet and soft toward hard and all as-many-as by-the of-the
ἐναντίων κράσει κατὰ τύχην ἐξ ἀνάγκης συνεκεράσθη,
opposites mixture according-to chance from necessity were-mixed-together
ταύτῃ καὶ κατὰ ταῦτα οὕτως γεγεννηκέναι τόν τε
in-this-way and according-to these-things so to-have-generated the both
οὐρανὸν ὅλον καὶ πάντα ὁπόσα κατ᾽ οὐρανόν, καὶ
heaven whole and all as-many-as throughout heaven and
ζῷα αὖ καὶ φυτὰ σύμπαντα, ὡρῶν πασῶν ἐκ τούτων
animals again and plants all-together seasons all from these
γενομένων, οὐ δὲ διὰ νοῦν, φασίν, οὐδὲ διά τινα
having-come-about not but because-of mind they-say nor because-of some
θεὸν οὐδὲ διὰ τέχνην ἀλλά, ὃ λέγομεν, φύσει καὶ
god nor because-of art but what we-say by-nature and
τύχῃ. τέχνην δὲ ὕστερον ἐκ τούτων ὑστέραν γενομένην,
by-chance art and later from these later having-come-about
αὐτὴν θνητὴν ἐκ θνητῶν ὕστερα γεγεννηκέναι παιδιάς
itself mortal from mortals later-things to-have-generated amusements

τινας, ἀληθείας οὐ σφόδρα μετεχούσας, ἀλλὰ εἴδωλ' ἄττα
some of-truth not very partaking but images some
συγγενῆ ἑαυτῶν, οἷ' ἡ γραφικὴ γεννᾷ καὶ μουσικὴ καὶ
akin to-themselves such-as the painting generates and music and
ὅσαι ταύταις εἰσὶν συνέριθοι τέχναι· αἳ δέ τι καὶ
as-many-as to-these are fellow-workers arts which but anything also
σπουδαῖον ἄρα γεννῶσι τῶν τεχνῶν, εἶναι ταύτας ὁπόσαι
serious then generate of-the arts to-be these as-many-as
τῇ φύσει ἐκοίνωσαν τὴν αὑτῶν δύναμιν, οἷον αὖ
with-the nature shared the their-own power as again
ἰατρικὴ καὶ γεωργικὴ καὶ γυμναστική. καὶ δὴ καὶ τὴν
medicine and farming and gymnastics and indeed also the
πολιτικὴν σμικρόν τι μέρος εἶναί φασιν κοινωνοῦν φύσει,
political small some part to-be they-say sharing with-nature
τέχνῃ δὲ τὸ πολύ, οὕτω δὲ καὶ τὴν νομοθεσίαν πᾶσαν
with-art but the much so and also the legislation all
οὐ φύσει, τέχνῃ δέ, ἧς οὐκ ἀληθεῖς εἶναι τὰς θέσεις.
not by-nature by-art but of-which not true to-be the positings
CLIN. πῶς λέγεις;
how do-you-mean

III · SOUL BEFORE BODY

The unbelievers say that the gods exist by art and convention, that justice is a matter of law, and that the most just life is to win by force. The Athenian finds the source of their folly: they put fire, water, earth, and air first and soul later, when soul came first, and with it opinion, care, mind, art, and law.

ATH. θεούς, ὦ μακάριε, εἶναι πρῶτόν φασιν οὗτοι τέχνῃ, οὐ 890
gods O blessed-one to-be first say these by-art not
φύσει ἀλλά τισιν νόμοις, καὶ τούτους ἄλλους ἄλλῃ, ὅπῃ
by-nature but by-some laws and these other otherwise as

ἕκαστοι ἑαυτοῖσι συνωμολόγησαν νομοθετούμενοι· καὶ δὴ
each to-themselves agreed legislating and indeed
καὶ τὰ καλὰ φύσει μὲν ἄλλα εἶναι, νόμῳ δὲ ἕτερα,
also the fine-things by-nature indeed other to-be by-law but different
τὰ δὲ δὴ δίκαια οὐδ' εἶναι τὸ παράπαν φύσει, ἀλλ'
the(-ones) and indeed just-things not-even to-be the altogether by-nature but
ἀμφισβητοῦντας διατελεῖν ἀλλήλοις καὶ μετατιθεμένους
disputing to-continue with-one-another and changing
ἀεὶ ταῦτα, ἃ δ' ἂν μετάθωνται καὶ ὅταν, τότε κύρια
always these-things which and — they-change and whenever then authoritative
ἕκαστα εἶναι, γιγνόμενα τέχνῃ καὶ τοῖς νόμοις ἀλλ' οὐ
each to-be coming-about by-art and by-the laws but not
δή τινι φύσει. ταῦτ' ἐστίν, ὦ φίλοι, ἅπαντα ἀνδρῶν
indeed by-some nature these-things are O friends all of-men
σοφῶν παρὰ νέοις ἀνθρώποις, ἰδιωτῶν τε καὶ ποιητῶν,
wise among young men private-persons both and poets
φασκόντων εἶναι τὸ δικαιότατον ὅτι τις ἂν νικᾷ
claiming to-be the most-just whatever anyone — wins
βιαζόμενος· ὅθεν ἀσέβειαί τε ἀνθρώποις ἐμπίπτουσιν νέοις,
forcing whence impieties both to-men fall-upon young
ὡς οὐκ ὄντων θεῶν οἵους ὁ νόμος προστάττει διανοεῖσθαι
as not being gods such-as the law commands to-think
δεῖν, στάσεις τε διὰ ταῦτα ἑλκόντων πρὸς τὸν
to-be-necessary factions and because-of these-things drawing toward the
κατὰ φύσιν ὀρθὸν βίον, ὅς ἐστιν τῇ ἀληθείᾳ κρατοῦντα
according-to nature right life which is in-the truth ruling
ζῆν τῶν ἄλλων καὶ μὴ δουλεύοντα ἑτέροισι κατὰ νόμον.
to-live the others and not being-a-slave to-others according-to law

b CLIN. οἷον διελήλυθας, ὦ ξένε, λόγον, καὶ ὅσην λώβην
what-a you-have-gone-through O stranger argument and how-great ruin
ἀνθρώπων νέων δημοσίᾳ πόλεσίν τε καὶ ἰδίοις οἴκοις.
of-men young publicly for-cities both and for-private houses

ATH. ἀληθῆ μέντοι λέγεις, ὦ Κλεινία. τί οὖν οἴει c
true-things indeed you-say O Clinias what then do-you-think
χρῆναι δρᾶν τὸν νομοθέτην, οὕτω τούτων πάλαι
to-be-needful to-do the lawgiver so these long-ago
παρεσκευασμένων; ἢ μόνον ἀπειλεῖν στάντα ἐν τῇ πόλει
having-been-prepared or only to-threaten having-stood in the city
σύμπασι τοῖς ἀνθρώποις, ὡς εἰ μὴ φήσουσιν εἶναι θεοὺς καὶ
all-together the men that if not they-will-say to-be gods and
διανοηθήσονται δοξάζοντες τοιούτους οἵους φησὶν ὁ νόμος —
will-think believing such as says the law
καὶ περὶ καλῶν καὶ δικαίων καὶ περὶ ἁπάντων τῶν μεγίστων
and about fine-things and just-things and about all the greatest
ὁ αὐτὸς λόγος, ὅσα δὲ πρὸς ἀρετὴν τείνει καὶ κακίαν,
the same argument as-many-as and toward virtue tend and vice
ὡς δεῖ ταῦτα οὕτω πράττειν διανοουμένους ὅπῃπερ
that one-must these-things so to-do thinking in-whatever-way
ἂν ὁ νομοθέτης ὑφηγήσηται γράφων — ὃς δ' ἂν μὴ
— the lawgiver guide writing who and — not
παρέχηται ἑαυτὸν τοῖς νόμοις εὐπειθῆ, τὸν μὲν δεῖν
offer himself to-the laws obedient the(-one) indeed to-be-necessary
τεθνάναι, τὸν δέ τινα πληγαῖς καὶ δεσμοῖς, τὸν δὲ
to-be-dead the(-other) and some with-blows and bonds the(-other) and
ἀτιμίαις, ἄλλους δὲ πενίαις κολάζεσθαι καὶ φυγαῖς· πειθὼ
with-dishonors others and with-poverties to-be-punished and exiles persuasion
δὲ τοῖς ἀνθρώποις, ἅμα τιθέντα αὐτοῖς τοὺς νόμους,
and to-the men at-once laying-down for-them the laws
μηδεμίαν ἔχειν τοῖς λόγοις προσάπτοντα εἰς δύναμιν ἡμεροῦν;
none to-have by-the words attaching to power to-tame
CLIN. μηδαμῶς, ὦ ξένε, ἀλλ' εἴπερ τυγχάνει γε οὖσα d
by-no-means O stranger but if-indeed it-happens at-least being
καὶ σμικρὰ πειθώ τις περὶ τὰ τοιαῦτα, δεῖ μηδαμῇ
even small persuasion some about the such-things one-must in-no-way

κάμνειν τόν γε ἄξιον καὶ σμικροῦ νομοθέτην, ἀλλὰ
to-grow-weary the at-least worthy even of-little lawgiver but
πᾶσαν, τὸ λεγόμενον, φωνὴν ἱέντα, τῷ παλαιῷ νόμῳ
every the being-said voice sending-forth to-the ancient law
ἐπίκουρον γίγνεσθαι λόγῳ ὡς εἰσὶν θεοὶ καὶ ὅσα
helper to-become by-argument that are gods and as-many-as
νυνδὴ διῆλθες σύ, καὶ δὴ καὶ νόμῳ αὐτῷ βοηθῆσαι
just-now went-through you and indeed also to-law itself to-help
καὶ τέχνῃ, ὡς ἐστὸν φύσει ἢ φύσεως οὐχ ἧττον, εἴπερ
and to-art that the-two-are by-nature or than-nature not less if-indeed
νοῦ γέ ἐστιν γεννήματα κατὰ λόγον ὀρθόν, ὃν
of-mind at-least they-are offspring according-to reason right which
σύ τε λέγειν μοι φαίνῃ καὶ ἐγώ σοι πιστεύω τὰ νῦν.
you both to-speak to-me seem and I you trust the now

e ATH. ὦ προθυμότατε Κλεινία, τί δ'; οὐ χαλεπά τέ ἐστι
O most-eager Clinias what but not hard both is
συνακολουθεῖν λόγοις οὕτως εἰς πλήθη λεγόμενα, μήκη
to-follow arguments so to multitudes being-spoken lengths
τε αὖ κέκτηται διωλύγια;
and again they-have-acquired immense

891 CLIN. τί δέ, ὦ ξένε; περὶ μέθης μὲν καὶ μουσικῆς οὕτω
what but O stranger about drunkenness indeed and music so
μακρὰ λέγοντας ἡμᾶς αὐτοὺς περιεμείναμεν, περὶ θεῶν δὲ
long-things saying us ourselves we-waited-for about gods but
καὶ τῶν τοιούτων οὐχ ὑπομενοῦμεν; καὶ μὴν καὶ νομοθεσίᾳ
and the such not we-will-endure and indeed also to-legislation
γέ ἐστίν που τῇ μετὰ φρονήσεως μεγίστη βοήθεια, διότι
at-least it-is surely the with prudence greatest help because
τὰ περὶ νόμους προστάγματα ἐν γράμμασι τεθέντα, ὡς
the about laws ordinances in writings set-down as
δώσοντα εἰς πάντα χρόνον ἔλεγχον, πάντως ἠρεμεῖ, ὥστε
going-to-give into all time scrutiny altogether stays-still so-that

οὔτ᾽ εἰ χαλεπὰ κατ᾽ ἀρχὰς ἀκούειν ἐστὶν φοβητέον, ἅ
neither if hard at beginnings to-hear they-are one-must-fear which
γ᾽ ἔσται καὶ τῷ δυσμαθεῖ πολλάκις ἐπανιόντι σκοπεῖν,
at-least will-be also for-the slow-learner often returning to-examine
οὔτε εἰ μακρά, ὠφέλιμα δέ, διὰ ταῦτα λόγον οὐδαμῇ
nor if long beneficial but because-of these-things reason in-no-way
ἔχει οὐδὲ ὅσιον ἔμοιγε εἶναι φαίνεται τὸ μὴ οὐ βοηθεῖν
it-has nor holy to-me-at-least to-be appears the not not to-help
τούτοις τοῖς λόγοις πάντα ἄνδρα κατὰ δύναμιν.
these the arguments every man according-to power

MEG. ἄριστα, ὦ ξένε, δοκεῖ μοι λέγειν Κλεινίας.
best O stranger seems to-me to-speak Clinias

ATH. καὶ μάλα γε, ὦ Μέγιλλε, ποιητέον τε ὡς λέγει. καὶ b
and very at-least O Megillus one-must-do and as he-says and
γὰρ εἰ μὴ κατεσπαρμένοι ἦσαν οἱ τοιοῦτοι λόγοι ἐν τοῖς
for if not scattered-abroad were the such arguments among the
πᾶσιν ὡς ἔπος εἰπεῖν ἀνθρώποις, οὐδὲν ἂν ἔδει
all so a-word to-say men nothing — there-would-be-need
τῶν ἐπαμυνούντων λόγων ὡς εἰσὶν θεοί· νῦν δὲ ἀνάγκη.
of-the defending arguments that are gods now but necessity
νόμοις οὖν διαφθειρομένοις τοῖς μεγίστοις ὑπὸ κακῶν
laws then being-corrupted the greatest by bad
ἀνθρώπων τίνα καὶ μᾶλλον προσήκει βοηθεῖν ἢ νομοθέτην;
men whom also rather it-befits to-help than lawgiver

MEG. οὐκ ἔστιν.
not it-is

ATH. ἀλλὰ δὴ λέγε μοι πάλιν, Κλεινία, καὶ σύ — c
but indeed tell me again Clinias also you
κοινωνὸν γὰρ δεῖ σε εἶναι τῶν λόγων — κινδυνεύει γὰρ
partner for one-must you to-be of-the arguments is-likely for
ὁ λέγων ταῦτα πῦρ καὶ ὕδωρ καὶ γῆν καὶ ἀέρα πρῶτα
the saying these-things fire and water and earth and air first

ἡγεῖσθαι τῶν πάντων εἶναι, καὶ τὴν φύσιν ὀνομάζειν
to-consider of-the all to-be and the nature to-name
ταῦτα αὐτά, ψυχὴν δὲ ἐκ τούτων ὕστερον. ἔοικεν δὲ οὐ
these themselves soul and from these later it-seems but not
κινδυνεύειν ἀλλὰ ὄντως σημαίνειν ταῦτα ἡμῖν τῷ λόγῳ.
to-be-likely but really to-indicate these-things to-us by-the argument
CLIN. πάνυ μὲν οὖν.
certainly indeed then
d ATH. ἆρ' οὖν πρὸς Διὸς οἷον πηγήν τινα ἀνοήτου δόξης
so then by Zeus as-it-were spring some of-foolish opinion
ἀνηυρήκαμεν ἀνθρώπων ὁπόσοι πώποτε τῶν περὶ φύσεως
we-have-discovered of-men as-many-as ever of-the about nature
ἐφήψαντο ζητημάτων; σκόπει πάντα λόγον ἐξετάζων· οὐ
laid-hold-of inquiries consider every argument examining not
γὰρ δὴ σμικρόν γε τὸ διαφέρον, εἰ φανεῖεν οἱ λόγων
for indeed small at-least the difference if should-appear the arguments
ἁπτόμενοι ἀσεβῶν, ἄλλοις τε ἐξάρχοντες, μηδὲ εὖ τοῖς
laying-hold-of impious to-others and leading not-even well the
λόγοις ἀλλ' ἐξημαρτημένως χρώμενοι. δοκεῖ τοίνυν μοι
arguments but erroneously using it-seems then to-me
ταῦτα οὕτως ἔχειν.
these-things so to-be
CLIN. εὖ λέγεις· ἀλλ' ὅπῃ, πειρῶ φράζειν.
well you-speak but how try to-tell
ATH. ἔοικεν τοίνυν ἀηθεστέρων ἁπτέον εἶναι λόγων.
it-seems then more-unaccustomed one-must-lay-hold-of to-be arguments
e CLIN. οὐκ ὀκνητέον, ὦ ξένε. μανθάνω γὰρ ὡς νομοθεσίας
not one-must-shrink O stranger I-understand for that legislation
ἐκτὸς οἰήσῃ βαίνειν, ἐὰν τῶν τοιούτων ἁπτώμεθα
outside you-will-think to-step if of-the such we-lay-hold-of
λόγων. εἰ δὲ ἔστι μηδαμῇ ἑτέρως συμφωνῆσαι τοῖς
arguments if but it-is-possible in-no-way otherwise to-agree with-the

νῦν κατὰ νόμον λεγομένοις θεοῖς ὡς ὀρθῶς ἔχουσιν
now according-to law spoken-of gods as rightly being
ἢ ταύτῃ, λεκτέον, ὦ θαυμάσιε, καὶ ταύτῃ.
than in-this-way one-must-speak O wonderful-one also in-this-way
ATH. λέγοιμ' ἄν, ὡς ἔοικεν, ἤδη σχεδὸν οὐκ εἰωθότα
I-would-speak — as it-seems already nearly not accustomed
λόγον τινὰ τόνδε. ὃ πρῶτον γενέσεως καὶ φθορᾶς αἴτιον
argument some this-here which first of-generation and destruction cause
ἁπάντων, τοῦτο οὐ πρῶτον ἀλλὰ ὕστερον ἀπεφήναντο
of-all this not first but later declared
εἶναι γεγονὸς οἱ τὴν τῶν ἀσεβῶν ψυχὴν ἀπεργασάμενοι
to-be having-come-about the the of-the impious soul having-produced
λόγοι, ὃ δὲ ὕστερον, πρότερον· ὅθεν ἡμαρτήκασι περὶ
arguments what and later earlier whence they-have-erred about
θεῶν τῆς ὄντως οὐσίας.
of-gods the really being
CLIN. οὔπω μανθάνω. 892
not-yet I-understand
ATH. ψυχήν, ὦ ἑταῖρε, ἠγνοηκέναι κινδυνεύουσι μὲν b
soul O comrade to-have-been-ignorant-of are-likely indeed
ὀλίγου σύμπαντες οἷόν τε ὂν τυγχάνει καὶ δύναμιν
nearly all-together of-what-sort both being it-happens and power
ἣν ἔχει, τῶν τε ἄλλων αὐτῆς πέρι καὶ δὴ καὶ γενέσεως,
which it-has of-the both others of-it about and indeed also of-generation
ὡς ἐν πρώτοις ἐστί, σωμάτων ἔμπροσθεν πάντων
that among first-things it-is of-bodies before all
γενομένη, καὶ μεταβολῆς τε αὐτῶν καὶ μετακοσμήσεως
having-come-about and of-change both of-them and of-rearrangement
ἁπάσης ἄρχει παντὸς μᾶλλον· εἰ δὲ ἔστιν ταῦτα
all it-rules than-anything rather if but are these-things
οὕτως, ἆρ' οὐκ ἐξ ἀνάγκης τὰ ψυχῆς συγγενῆ πρότερα
so then not from necessity the of-soul akin earlier

ἂν εἴη γεγονότα τῶν σώματι προσηκόντων, οὔσης
— *would-be having-come-about than-the to-body belonging being*
γ' αὐτῆς πρεσβυτέρας ἢ σώματος;
at-least itself older than body

CLIN. ἀνάγκη.
necessity

ATH. δόξα δὴ καὶ ἐπιμέλεια καὶ νοῦς καὶ τέχνη καὶ νόμος
opinion indeed and care and mind and art and law
σκληρῶν καὶ μαλακῶν καὶ βαρέων καὶ κούφων πρότερα
than-hard-things and soft and heavy and light earlier
ἂν εἴη· καὶ δὴ καὶ τὰ μεγάλα καὶ πρῶτα ἔργα καὶ
— *would-be and indeed also the great and first works and*
πράξεις τέχνης ἂν γίγνοιτο, ὄντα ἐν πρώτοις, τὰ
actions of-art — would-come-about being among first-things the(-ones)
δὲ φύσει καὶ φύσις, ἣν οὐκ ὀρθῶς ἐπονομάζουσιν αὐτὸ
and by-nature and nature which not rightly they-name itself
τοῦτο, ὕστερα καὶ ἀρχόμενα ἂν ἐκ τέχνης εἴη καὶ νοῦ.
this later and ruled — from art would-be and mind

c CLIN. πῶς οὐκ ὀρθῶς;
how not rightly

ATH. φύσιν βούλονται λέγειν γένεσιν τὴν περὶ τὰ πρῶτα·
nature they-wish to-call generation the about the first-things
εἰ δὲ φανήσεται ψυχὴ πρῶτον, οὐ πῦρ οὐδὲ ἀήρ, ψυχὴ
if but will-appear soul first not fire nor air soul
δ' ἐν πρώτοις γεγενημένη, σχεδὸν ὀρθότατα λέγοιτ'
but among first-things having-come-about nearly most-rightly would-be-said
ἂν εἶναι διαφερόντως φύσει. ταῦτ' ἔσθ' οὕτως ἔχοντα,
— *to-be exceptionally by-nature these-things are so being*
ἂν ψυχήν τις ἐπιδείξῃ πρεσβυτέραν οὖσαν σώματος,
if soul anyone show older being than-body
ἄλλως δὲ οὐδαμῶς.
otherwise but in-no-way

CLIN. ἀληθέστατα λέγεις.
most-truly you-speak

ATH. οὐκοῦν τὰ μετὰ ταῦτα ἐπ᾽ αὐτὸ δὴ τοῦτο
therefore the after these-things to itself indeed this
στελλώμεθα;
let-us-set-out

CLIN. τί μήν; d
what indeed

ATH. φυλάττωμεν δὴ παντάπασιν ἀπατηλὸν λόγον, μή e
let-us-guard indeed altogether deceptive argument lest
πῃ πρεσβύτας ἡμᾶς ὄντας νεοπρεπὴς ὢν παραπείσῃ καὶ
somehow elders us being youthful being it-mislead and
διαφυγὼν καταγελάστους ποιήσῃ, καὶ δόξωμεν μείζονα
having-escaped laughable make and we-seem greater-things
ἐπιβαλλόμενοι καὶ τῶν σμικρῶν ἀποτυχεῖν. σκοπεῖτε οὖν. εἰ
attempting even the small-things to-fail consider then if
καθάπερ ποταμὸν ἡμᾶς ἔδει τρεῖς ὄντας διαβαίνειν
as river us it-were-necessary three being to-cross
ῥέοντα σφόδρα, νεώτατος δ᾽ ἐγὼ τυγχάνων ἡμῶν καὶ
flowing violently youngest and I happening of-us and
πολλῶν ἔμπειρος ῥευμάτων, εἶπον ὅτι πρῶτον ἐμὲ χρῆναι
of-many experienced currents I-said that first me to-be-needful
πειραθῆναι κατ᾽ ἐμαυτόν, καταλιπόντα ὑμᾶς ἐν ἀσφαλεῖ,
to-make-trial by myself having-left you in safety
σκέψασθαι εἰ διαβατός ἐστι πρεσβυτέροις οὖσι καὶ ὑμῖν, ἢ
to-consider if crossable it-is for-older being also for-you or
πῶς ἔχει, καὶ φανέντος μὲν ταύτῃ, καλεῖν ὑμᾶς τότε καὶ
how it-is and having-appeared indeed in-this-way to-call you then and
συνδιαβιβάζειν ἐμπειρίᾳ, εἰ δὲ ἄβατος ἦν ὡς ὑμῖν, ἐν
to-help-across with-experience if but impassable it-was as for-you upon
ἐμοὶ τὸν κίνδυνον γεγονέναι, μετρίως ἂν ἐδόκουν λέγειν,
me the danger to-have-come-about moderately — I-would-seem to-speak

καὶ δὴ καὶ νῦν ὁ μέλλων ἐστὶ λόγος σφοδρότερος καὶ
and indeed also now the coming is argument more-violent and
σχεδὸν ἴσως ἄβατος ὡς τῇ σφῷν ῥώμῃ·
nearly perhaps impassable as for-the of-you-two strength
μὴ δὴ σκοτοδινίαν ἴλιγγόν τε ὑμῖν ἐμποιήσῃ παραφερόμενός
lest indeed dizziness vertigo and in-you it-produce sweeping-past
τε καὶ ἐρωτῶν ἀήθεις ὄντας ἀποκρίσεων, εἶτ' ἀσχημοσύνην
both and questioning unaccustomed being to-answers then unseemliness
ἀπρέπειάν τε ἐντέκῃ ἀηδῆ, δοκεῖ δή μοι χρῆναι ποιεῖν
indecorum and it-engender unpleasant it-seems indeed to-me to-be-needful to-do
οὑτωσὶ τὰ νῦν ἐμέ, ἀνερωτᾶν πρῶτον ἐμαυτόν, ἀκουόντων
thus the now me to-question first myself listening
ὑμῶν ἐν ἀσφαλεῖ, καὶ μετὰ ταῦτα ἀποκρίνασθαι πάλιν ἐμέ,
you in safety and after these-things to-answer again me
καὶ τὸν λόγον ἅπαντα οὕτω διεξελθεῖν, μέχριπερ ἂν ψυχῆς
and the argument whole so to-go-through until — soul
πέρι διαπεράνηται καὶ δείξῃ πρότερον ὂν ψυχὴν σώματος.
about it-be-completed and show earlier being soul than-body
CLIN. ἄριστ', ὦ ξένε, δοκεῖς ἡμῖν εἰρηκέναι, ποίει τε ὡς
best O stranger you-seem to-us to-have-spoken do and as
λέγεις.
you-say

Calling on god, the Athenian asks whether all things stand still or move, and enumerates the motions: ten in all, the last two being motion moved by another and motion that moves itself. The self-moving motion is first in rank and power: if all things stood still together, it alone could start motion. Whatever moves itself is called alive, and everything has three aspects, its being, its definition, and its name.

ΑΘΗ. ἄγε δή, θεὸν εἴ ποτε παρακλητέον ἡμῖν, νῦν ἔστω 893
come indeed god if ever one-must-call-upon for-us now let-be
τοῦτο οὕτω γενόμενον — ἐπί γε ἀπόδειξιν ὡς εἰσὶν τὴν
this so having-come-about for at-least demonstration that they-are the
αὑτῶν σπουδῇ πάσῃ παρακεκλήσθων — ἐχόμενοι δὲ ὥς
their-own with-earnestness all let-them-have-been-called-upon holding and as
τινος ἀσφαλοῦς πείσματος ἐπεισβαίνωμεν εἰς τὸν νῦν λόγον.
some secure cable let-us-embark into the now argument
καί μοι ἐλεγχομένῳ περὶ τὰ τοιαῦτα ἐρωτήσεσιν τοιαῖσδε
and to-me being-tested about the such-things by-questions such-as-these
ἀσφαλέστατα ἀποκρίνεσθαι φαίνεται κατὰ τάδε· ὦ ξένε,
most-safely to-answer appears according-to these-things O stranger
ὁπόταν φῇ τις, ἆρα ἕστηκε μὲν πάντα, κινεῖται δὲ οὐδέν;
whenever says anyone then stand indeed all is-moved but nothing
ἢ τούτῳ πᾶν τοὐναντίον; ἢ τὰ μὲν αὐτῶν κινεῖται,
or to-this all the-opposite or the(-ones) indeed of-them are-moved
τὰ δὲ μένει; — τὰ μὲν κινεῖταί που, φήσω, τὰ
the(-others) and remain the(-ones) indeed are-moved surely I-will-say the(-others)
δὲ μένει. — μῶν οὖν οὐκ ἐν χώρᾳ τινὶ τά τε ἑστῶτα
and remain surely-not then not in place some the both standing
ἕστηκεν καὶ τὰ κινούμενα κινεῖται; — πῶς γὰρ οὔ; — καὶ
stand and the being-moved are-moved how for not and
τὰ μέν γε ἐν μιᾷ ἕδρᾳ που τοῦτο ἂν δρῴη, τὰ δὲ
the(-ones) indeed at-least in one seat surely this — would-do the(-others) and

ἐν πλείοσιν. — τὰ τὴν τῶν ἑστώτων ἐν μέσῳ λαμβάνοντα
in more the the of-the standing in middle taking
δύναμιν λέγεις, φήσομεν, ἐν ἑνὶ κινεῖσθαι, καθάπερ ἡ τῶν
power you-mean we-shall-say in one to-be-moved as the of-the
ἑστάναι λεγομένων κύκλων στρέφεται περιφορά;
to-stand being-said of-circles revolves revolution
d — ναί. μανθάνομεν δέ γε ὡς ἐν ταύτῃ τῇ περιφορᾷ τὸν
yes we-understand and at-least that in this the revolution the
μέγιστον καὶ τὸν σμικρότατον κύκλον ἅμα περιάγουσα, ἡ
greatest and the smallest circle at-once carrying-round the
τοιαύτη κίνησις ἀνὰ λόγον ἑαυτὴν διανέμει σμικροῖς τε
such motion in proportion itself distributes to-small both
καὶ μείζοσιν, ἐλάττων τε οὖσα καὶ πλείων κατὰ λόγον·
and to-greater less both being and more according-to proportion
διὸ δὴ τῶν θαυμαστῶν ἁπάντων πηγὴ γέγονεν, ἅμα
wherefore indeed of-the wondrous-things all spring it-has-become at-once
μεγάλοις καὶ σμικροῖς κύκλοις βραδυτῆτάς τε καὶ τάχη
to-great and to-small circles slownesses both and speeds
ὁμολογούμενα πορεύουσα, ἀδύνατον, ὡς ἄν τις ἐλπίσειε,
agreeing conveying impossible as — anyone would-expect
γίγνεσθαι πάθος. — ἀληθέστατα λέγεις. — τὰ δέ γε
to-come-about condition most-truly you-speak the(-things) and at-least
κινούμενα ἐν πολλοῖς φαίνῃ μοι λέγειν ὅσα φορᾷ
being-moved in many you-seem to-me to-mean as-many-as by-locomotion
κινεῖται μεταβαίνοντα εἰς ἕτερον ἀεὶ τόπον, καὶ τοτὲ μὲν
are-moved passing into another always place and at-times indeed
ἔστιν ὅτε βάσιν ἑνὸς κεκτημένα τινὸς κέντρου, τοτὲ δὲ
there-is when base of-one having-acquired some center at-times and
πλείονα τῷ περικυλινδεῖσθαι. προστυγχάνοντα δ' ἑκάστοτε
more by-the rolling-around meeting and each-time
ἑκάστοις, τοῖς ἑστῶσι μὲν διασχίζεται, τοῖς δ' ἄλλοις
each the standing indeed are-split the and others

ἐξ ἐναντίας ἀπαντῶσι καὶ φερομένοις εἰς ἓν γιγνόμενα
from opposite meeting and being-carried into one becoming
μέσα τε καὶ μεταξὺ τῶν τοιούτων συγκρίνεται. — λέγω
middle both and between of-the such are-combined I-say
γὰρ οὖν ταῦτα οὕτως ἔχοντα, ὡς σὺ λέγεις. —
for then these-things so being as you say
καὶ μὴν καὶ συγκρινόμενα μὲν αὐξάνεται, διακρινόμενα δὲ 894
and indeed also being-combined indeed they-grow being-separated and
φθίνει τότε, ὅταν ἡ καθεστηκυῖα ἑκάστων ἕξις διαμένῃ,
they-waste then whenever the established of-each state persist
μὴ μενούσης δὲ αὐτῆς, δι' ἀμφότερα ἀπόλλυται.
not remaining but it because-of both they-perish
γίγνεται δὴ πάντων γένεσις, ἡνίκ' ἂν τί πάθος ᾖ; δῆλον
comes-about indeed of-all generation when — what condition be clear
ὡς ὁπόταν ἀρχὴ λαβοῦσα αὔξην εἰς τὴν δευτέραν ἔλθῃ
that whenever beginning having-taken growth to the second come
μετάβασιν καὶ ἀπὸ ταύτης εἰς τὴν πλησίον, καὶ μέχρι
transition and from this to the near and as-far-as
τριῶν ἐλθοῦσα αἴσθησιν σχῇ τοῖς αἰσθανομένοις. μεταβάλλον
three having-come perception have to-the perceiving changing
μὲν οὖν οὕτω καὶ μετακινούμενον γίγνεται πᾶν· ἔστιν
indeed then so and shifting comes-to-be everything is
δὲ ὄντως ὄν, ὁπόταν μένῃ, μεταβαλὸν δὲ εἰς ἄλλην ἕξιν
and really being whenever it-remain having-changed but into another state
διέφθαρται παντελῶς. ἆρ' οὖν κινήσεις πάσας εἰρήκαμεν
it-has-been-destroyed entirely so then motions all we-have-told
ὡς ἐν εἴδεσιν λαβεῖν μετ' ἀριθμοῦ, πλήν γε, ὦ φίλοι, δυοῖν;
as in kinds to-take with number except at-least O friends two
CLIN. ποίαιν δή;
what-two indeed

ATH. σχεδόν, ὠγαθέ, ἐκείναιν ὧν ἕνεκα πᾶσα ἡμῖν
nearly my-good-man those-two of-which for-the-sake all for-us
ἐστιν ἡ σκέψις τὰ νῦν.
is the inquiry the now
CLIN. λέγε σαφέστερον.
speak more-clearly
ATH. ψυχῆς ἦν ἕνεκά που;
of-soul it-was for-the-sake surely
CLIN. πάνυ μὲν οὖν.
certainly indeed then
C ATH. ἔστω τοίνυν ἡ μὲν ἕτερα δυναμένη κινεῖν
let-be then the(-one) indeed other-things being-able to-move
κίνησις, ἑαυτὴν δὲ ἀδυνατοῦσα, ἀεὶ μία τις, ἡ δὲ
motion itself but being-unable always one some the(-other) and
αὐτήν τ' ἀεὶ καὶ ἕτερα δυναμένη κατά τε συγκρίσεις
itself both always and other-things being-able by both combinations
ἔν τε διακρίσεσιν αὔξαις τε καὶ τῷ ἐναντίῳ καὶ γενέσεσι
in and separations growths both and the opposite and generations
καὶ φθοραῖς ἄλλη μία τις αὖ τῶν πασῶν κινήσεων.
and destructions another one some again of-the all motions
CLIN. ἔστω γὰρ οὖν.
let-it-be for then
ATH. οὐκοῦν τὴν μὲν ἕτερον ἀεὶ κινοῦσαν καὶ
therefore the(-one) indeed another always moving and
μεταβαλλομένην ὑφ' ἑτέρου θήσομεν ἐνάτην αὖ, τήν τε
being-changed by another we-shall-set ninth again the both
ἑαυτὴν κινοῦσαν καὶ ἕτερον, ἐναρμόττουσαν πᾶσιν μὲν
itself moving and another fitting all indeed
ποιήμασι, πᾶσιν δὲ παθήμασι, καλουμένην δὲ ὄντως τῶν
actions all and passions being-called and really of-the

ὄντων πάντων μεταβολὴν καὶ κίνησιν, ταύτην δὲ δεκάτην
beings all change and motion this and tenth
σχεδὸν ἐροῦμεν.
nearly we-shall-say
CLIN. παντάπασι μὲν οὖν.
altogether indeed then
ATH. τῶν δὴ δέκα μάλιστα ἡμῖν κινήσεων τίν' ἂν d
of-the indeed ten most for-us motions which —
προκρίναιμεν ὀρθότατα πασῶν ἐρρωμενεστάτην τε εἶναι
we-would-prefer most-rightly of-all strongest both to-be
καὶ πρακτικὴν διαφερόντως;
and active exceptionally
CLIN. μυρίῳ ἀνάγκη που φάναι διαφέρειν τὴν αὐτὴν
by-ten-thousandfold necessity surely to-say to-surpass the itself
αὑτὴν δυναμένην κινεῖν, τὰς δὲ ἄλλας πάσας ὑστέρας.
itself being-able to-move the and others all later
ATH. εὖ λέγεις. ἆρ' οὖν ἡμῖν τῶν νῦν οὐκ ὀρθῶς ῥηθέντων
well you-speak so then for-us of-the now not rightly having-been-said
μεταθετέον ἓν ἢ καὶ δύο;
one-must-change one or even two
CLIN. ποῖα φῄς;
what-sort you-say
ATH. τὸ τῆς δεκάτης ῥηθὲν σχεδὸν οὐκ ὀρθῶς εἴρηται.
the of-the tenth having-been-said nearly not rightly has-been-said
CLIN. πῇ;
how
ATH. πρῶτον γενέσει τέ ἐστιν καὶ ῥώμῃ κατὰ e
first in-generation both it-is and in-strength according-to
λόγον· τὸ δὲ μετὰ τοῦτο ἔχομεν τούτου δεύτερον, ἄρτι
reason the and after this we-have than-this second just-now
ῥηθὲν ἀτόπως ἔνατον.
having-been-said absurdly ninth

CLIN. πῶς λέγεις;
how do-you-mean

ATH. ὧδε. ὅταν ἕτερον ἄλλο ἡμῖν μεταβάλῃ καὶ τοῦτο
thus whenever one other for-us change and this
ἄλλο ἕτερον ἀεί, τῶν τοιούτων ἆρα ἔσται ποτέ τι
other another always of-the such then will-be ever anything
πρῶτον μεταβάλλον; καὶ πῶς, ὅταν ὑπ' ἄλλου κινῆται,
first changing and how whenever by another it-is-moved
τοῦτ' ἔσται ποτὲ τῶν ἀλλοιούντων πρῶτον; ἀδύνατον γάρ.
this will-be ever of-the altering first impossible for
895 ἀλλ' ὅταν ἄρα αὐτὸ αὑτὸ κινῆσαν ἕτερον ἀλλοιώσῃ, τὸ
but whenever then itself itself having-moved another alter the
δ' ἕτερον ἄλλο, καὶ οὕτω δὴ χίλια ἐπὶ μυρίοις γίγνηται
and other another and so indeed thousands upon ten-thousands become
τὰ κινηθέντα, μῶν ἀρχή τις αὐτῶν ἔσται τῆς κινήσεως
the having-been-moved surely-not beginning some of-them will-be of-the motion
ἁπάσης ἄλλη πλὴν ἡ τῆς αὐτῆς αὑτὴν κινησάσης μεταβολή;
all other except the of-the itself itself having-moved change
CLIN. κάλλιστα εἶπες, συγχωρητέα τε τούτοις.
most-finely you-spoke one-must-concede and to-these

b ATH. ἔτι δὴ καὶ τῇδε εἴπωμεν, καὶ ἀποκρινώμεθα πάλιν
still indeed also in-this-way let-us-speak and let-us-answer again
ἡμῖν αὐτοῖσιν. εἰ σταίη πως τὰ πάντα ὁμοῦ γενόμενα,
us ourselves if should-stand somehow the all-things together having-come
καθάπερ οἱ πλεῖστοι τῶν τοιούτων τολμῶσι λέγειν, τίν'
as the most of-the such dare to-say what
ἄρα ἐν αὐτοῖς ἀνάγκη πρώτην κίνησιν γενέσθαι τῶν
then in them necessity first motion to-come-about of-the
εἰρημένων; τὴν αὐτὴν ἑαυτὴν δήπου κινοῦσαν· ὑπ' ἄλλου
said-things the itself itself surely moving by another
γὰρ οὐ μήποτε ἔμπροσθεν μεταπέσῃ, μηδεμιᾶς γε ἐν
for not never before it-shift none at-least in

αὐτοῖς οὔσης ἔμπροσθεν μεταπτώσεως. ἀρχὴν ἄρα κινήσεων
them being before shift beginning then of-motions
πασῶν καὶ πρώτην ἔν τε ἑστῶσιν γενομένην καὶ ἐν
all and first in both standing-things having-come-about and in
κινουμένοις οὖσαν τὴν αὐτὴν κινοῦσαν φήσομεν ἀναγκαίως
moving-things being the itself moving we-shall-say necessarily
εἶναι πρεσβυτάτην καὶ κρατίστην μεταβολὴν πασῶν, τὴν
to-be oldest and mightiest change of-all the
δὲ ἀλλοιουμένην ὑφ᾽ ἑτέρου, κινοῦσαν δὲ ἕτερα δευτέραν.
and being-altered by another moving and other-things second

CLIN. ἀληθέστατα λέγεις.
most-truly you-speak

ATH. ὁπότε δὴ τοίνυν ἐνταῦθά ἐσμεν τοῦ λόγου, τόδε c
since indeed then here we-are of-the argument this
ἀποκρινώμεθα.
let-us-answer

CLIN. τὸ ποῖον;
the what-sort

ATH. ἐὰν ἴδωμέν που ταύτην γενομένην ἐν τῷ γηίνῳ
if we-see surely this having-come-about in the earthy
ἢ ἐνύδρῳ ἢ πυροειδεῖ, κεχωρισμένῳ ἢ καὶ συμμιγεῖ, τί
or watery or fiery separated or even mixed what
ποτε φήσομεν ἐν τῷ τοιούτῳ πάθος εἶναι;
ever we-shall-say in the such condition to-be

CLIN. μῶν ἄρα με ἐρωτᾷς εἰ ζῆν αὐτὸ προσεροῦμεν,
surely-not then me you-ask if to-live it we-shall-call
ὅταν αὐτὸ αὑτὸ κινῇ;
whenever itself itself it-move

ATH. ναί.
yes

CLIN. ζῆν· πῶς γὰρ οὔ;
to-live how for not

ATH. τί δέ; ὁπόταν ψυχὴν ἔν τισιν ὁρῶμεν, μῶν ἄλλο
what and whenever soul in some we-see surely-not other
ἢ ταὐτὸν τούτῳ; ζῆν ὁμολογητέον;
than the-same as-this to-live one-must-agree
CLIN. οὐκ ἄλλο.
not other
d ATH. ἔχε δὴ πρὸς Διός· ἆρ᾽ οὐκ ἂν ἐθέλοις περὶ
hold indeed by Zeus then not — you-would-be-willing about
ἕκαστον τρία νοεῖν;
each three to-think
CLIN. πῶς λέγεις;
how do-you-mean
ATH. ἓν μὲν τὴν οὐσίαν, ἓν δὲ τῆς οὐσίας τὸν λόγον,
one indeed the being one and of-the being the definition
ἓν δὲ ὄνομα· καὶ δὴ καὶ ἐρωτήσεις εἶναι περὶ τὸ ὂν
one and name and indeed also questions to-be about the being
ἅπαν δύο.
every two
CLIN. πῶς δύο;
how two
ATH. τοτὲ μὲν ἡμῶν ἕκαστον τοὔνομα προτεινόμενον
at-times indeed of-us each the-name proposing
αὐτὸ τὸν λόγον ἀπαιτεῖν, τοτὲ δὲ τὸν λόγον αὐτὸν
itself the definition to-demand at-times and the definition itself
προτεινόμενον ἐρωτᾶν αὖ τοὔνομα. ἆρά γε τὸ τοιόνδε
proposing to-ask again the-name then at-least the such
αὖ βουλόμεθα νῦν λέγειν;
again we-wish now to-say
CLIN. τὸ ποῖον;
the what-sort

ATH. ἔστιν που δίχα διαιρούμενον ἐν ἄλλοις τε καὶ ἐν e
there-is surely in-two being-divided in others both and in
ἀριθμῷ· τούτῳ δὴ τῷ κατ᾽ ἀριθμὸν ὄνομα μὲν
number to-this indeed the according-to number name indeed
ἄρτιον, λόγος δέ, ἀριθμὸς διαιρούμενος εἰς ἴσα δύο μέρη.
even definition and number being-divided into equal two parts
CLIN. ναί.
yes
ATH. τὸ τοιοῦτον φράζω. μῶν οὖν οὐ ταὐτὸν ἑκατέρως
the such I-mean surely-not then not the-same either-way
προσαγορεύομεν, ἄντε τὸν λόγον ἐρωτώμενοι τοὔνομα
we-call whether the definition being-asked the-name
ἀποδιδῶμεν, ἄντε τοὔνομα τὸν λόγον, ἄρτιον ὀνόματι,
we-render or the-name the definition even by-name
καὶ λόγῳ δίχα διαιρούμενον ἀριθμόν, προσαγορεύοντες
and by-definition in-two being-divided number calling
ταὐτὸν ὄν;
the-same being
CLIN. παντάπασι μὲν οὖν.
altogether indeed then

The definition of soul is the motion that can move itself, so soul is the oldest thing and the cause of every change. Characters, wishes, and opinions are older than bodily length and breadth, and soul is the cause of good and bad alike. At least two souls govern the heavens, the beneficent and its opposite. If the heavens move in order like mind, the best soul governs them, and mind's motion is likened to a sphere turning in one place. All men see the sun's body, but its soul only with the mind.

896 ATH. ᾧ δὴ ψυχὴ τοὔνομα, τίς τούτου λόγος; ἔχομεν
to-which indeed soul the-name what of-this definition we-have
ἄλλον πλὴν τὸν νυνδὴ ῥηθέντα, τὴν δυναμένην αὐτὴν
other except the just-now said the being-able itself
αὑτὴν κινεῖν κίνησιν;
itself to-move motion
CLIN. τὸ ἑαυτὸ κινεῖν φῂς λόγον ἔχειν τὴν αὐτὴν οὐσίαν,
the itself to-move you-say definition to-have the same being
ἥνπερ τοὔνομα ὃ δὴ πάντες ψυχὴν προσαγορεύομεν;
which-very the-name which indeed all soul we-call
b ATH. φημί γε· εἰ δ' ἔστι τοῦτο οὕτως ἔχον, ἆρα ἔτι ποθοῦμεν
I-say at-least if but is this so being then still we-long-for
μὴ ἱκανῶς δεδεῖχθαι ψυχὴν ταὐτὸν ὂν καὶ τὴν πρώτην
as-if-not sufficiently to-have-been-shown soul the-same being and the first
γένεσιν καὶ κίνησιν τῶν τε ὄντων καὶ γεγονότων καὶ
generation and motion of-the both beings and having-come-to-be and
ἐσομένων καὶ πάντων αὖ τῶν ἐναντίων τούτοις, ἐπειδή γε
going-to-be and all again of-the opposites to-these since at-least
ἀνεφάνη μεταβολῆς τε καὶ κινήσεως ἁπάσης αἰτία ἅπασιν;
it-has-appeared of-change both and motion all cause to-all
CLIN. οὔκ, ἀλλὰ ἱκανώτατα δέδεικται ψυχὴ τῶν πάντων
not but most-sufficiently it-has-been-shown soul of-the all-things
πρεσβυτάτη, γενομένη γε ἀρχὴ κινήσεως.
oldest having-come-about at-least beginning of-motion

ATH. ἆρ᾽ οὖν οὐχ ἡ δι᾽ ἕτερον ἐν ἄλλῳ γιγνομένη
so then not the because-of another in other coming-about
κίνησις, αὐτὸ δὲ ἐν αὑτῷ μηδέποτε παρέχουσα κινεῖσθαι
motion itself but in itself never affording to-be-moved
μηδέν, δευτέρα τε, καὶ ὁπόσων ἀριθμῶν βούλοιτο ἄν
nothing second both and of-as-many numbers would-wish —
τις ἀριθμεῖν αὐτὴν πολλοστήν, τοσούτων, σώματος οὖσα
anyone to-number it the-how-manieth so-many of-body being
ὄντως ἀψύχου μεταβολή;
really soulless change

CLIN. ὀρθῶς.
rightly

ATH. ὀρθῶς ἄρα καὶ κυρίως ἀληθέστατά τε καὶ c
rightly then and authoritatively most-truly both and
τελεώτατα εἰρηκότες ἂν εἶμεν ψυχὴν μὲν προτέραν
most-completely having-spoken — we-would-be soul indeed earlier
γεγονέναι σώματος ἡμῖν, σῶμα δὲ δεύτερόν τε καὶ
to-have-come-about than-body for-us body and second both and
ὕστερον, ψυχῆς ἀρχούσης, ἀρχόμενον κατὰ φύσιν.
later soul ruling being-ruled according-to nature

CLIN. ἀληθέστατα μὲν οὖν.
most-truly indeed then

ATH. μεμνήμεθά γε μὴν ὁμολογήσαντες ἐν τοῖς πρόσθεν
we-remember at-least indeed having-agreed in the earlier-things
ὡς, εἰ ψυχὴ φανείη πρεσβυτέρα σώματος οὖσα, καὶ τὰ
that if soul should-appear older than-body being also the
ψυχῆς τῶν τοῦ σώματος ἔσοιτο πρεσβύτερα.
of-soul than-the of-the body would-be older

CLIN. πάνυ μὲν οὖν.
certainly indeed then

d ATH. τρόποι δὲ καὶ ἤθη καὶ βουλήσεις καὶ λογισμοὶ καὶ
ways and also characters and wishes and reasonings and
δόξαι ἀληθεῖς ἐπιμέλειαί τε καὶ μνῆμαι πρότερα μήκους
opinions true cares both and memories earlier than-length
σωμάτων καὶ πλάτους καὶ βάθους καὶ ῥώμης εἴη
of-bodies and breadth and depth and strength would-be
γεγονότα ἄν, εἴπερ καὶ ψυχὴ σώματος.
having-come-about — if-indeed also soul than-body
CLIN. ἀνάγκη.
necessity
ATH. ἆρ᾽ οὖν τὸ μετὰ τοῦτο ὁμολογεῖν ἀναγκαῖον τῶν τε
so then the after this to-agree necessary of-the both
ἀγαθῶν αἰτίαν εἶναι ψυχὴν καὶ τῶν κακῶν καὶ καλῶν
good-things cause to-be soul and of-the bad-things and fine
καὶ αἰσχρῶν δικαίων τε καὶ ἀδίκων καὶ πάντων τῶν
and shameful just both and unjust and all the
ἐναντίων, εἴπερ τῶν πάντων γε αὐτὴν θήσομεν αἰτίαν;
opposites if-indeed of-the all at-least it we-shall-set cause
CLIN. πῶς γὰρ οὔ;
how for not
e ATH. ψυχὴν δὴ διοικοῦσαν καὶ ἐνοικοῦσαν ἐν ἅπασιν τοῖς
soul indeed administering and dwelling-in in all the
πάντῃ κινουμένοις μῶν οὐ καὶ τὸν οὐρανὸν ἀνάγκη
everywhere being-moved surely-not not also the heaven necessity
διοικεῖν φάναι;
to-administer to-say
CLIN. τί μήν;
what indeed
ATH. μίαν ἢ πλείους; πλείους· ἐγὼ ὑπὲρ σφῷν
one or more more I on-behalf-of you-two
ἀποκρινοῦμαι. δυοῖν μέν γέ που ἔλαττον μηδὲν
will-answer two indeed at-least surely less nothing

τιθῶμεν, τῆς τε εὐεργέτιδος καὶ τῆς τἀναντία δυναμένης
let-us-set than-the both beneficent and the the-opposites being-able
ἐξεργάζεσθαι.
to-accomplish

CLIN. σφόδρα ὀρθῶς εἴρηκας.
very rightly you-have-spoken

ATH. εἶεν. ἄγει μὲν δὴ ψυχὴ πάντα τὰ κατ' 897
well-then leads indeed indeed soul all the-things throughout
οὐρανὸν καὶ γῆν καὶ θάλατταν ταῖς αὑτῆς κινήσεσιν,
heaven and earth and sea by-the its-own motions
αἷς ὀνόματά ἐστιν βούλεσθαι, σκοπεῖσθαι, ἐπιμελεῖσθαι,
to-which names are to-wish to-consider to-care
βουλεύεσθαι, δοξάζειν ὀρθῶς ἐψευσμένως, χαίρουσαν
to-deliberate to-believe rightly falsely rejoicing
λυπουμένην, θαρροῦσαν φοβουμένην, μισοῦσαν στέργουσαν,
grieving being-bold fearing hating loving
καὶ πάσαις ὅσαι τούτων συγγενεῖς ἢ πρωτουργοὶ
and all as-many-as of-these akin or first-working
κινήσεις τὰς δευτερουργοὺς αὖ παραλαμβάνουσαι κινήσεις
motions the second-working in-turn taking-over motions
σωμάτων ἄγουσι πάντα εἰς αὔξησιν καὶ φθίσιν καὶ διάκρισιν
of-bodies lead all into growth and decay and separation
καὶ σύγκρισιν καὶ τούτοις ἑπομένας θερμότητας ψύξεις,
and combination and to-these following heats coolings
βαρύτητας κουφότητας, σκληρὸν καὶ μαλακόν, λευκὸν καὶ
heavinesses lightnesses hard and soft white and
μέλαν, αὐστηρὸν καὶ γλυκύ, καὶ πᾶσιν οἷς ψυχὴ χρωμένη,
black harsh and sweet and all which soul using
νοῦν μὲν προσλαβοῦσα ἀεὶ θεὸν ὀρθῶς θεοῖς, ὀρθὰ
mind indeed having-taken-to-itself always god rightly to-gods right-things
καὶ εὐδαίμονα παιδαγωγεῖ πάντα, ἀνοίᾳ δὲ συγγενομένη
and happy guides all with-folly but having-consorted

πάντα αὖ τἀναντία τούτοις ἀπεργάζεται. τιθῶμεν ταῦτα
all again the-opposites to-these produces let-us-set these-things
οὕτως ἔχειν, ἢ ἔτι διστάζομεν εἰ ἑτέρως πως ἔχει;
so to-be or still do-we-hesitate if otherwise somehow it-is

CLIN. οὐδαμῶς.
in-no-way

c ATH. πότερον οὖν δὴ ψυχῆς γένος ἐγκρατὲς οὐρανοῦ
whether then indeed of-soul kind master of-heaven
καὶ γῆς καὶ πάσης τῆς περιόδου γεγονέναι φῶμεν; τὸ
and of-earth and all the revolution to-have-become are-we-to-say the
φρόνιμον καὶ ἀρετῆς πλῆρες, ἢ τὸ μηδέτερα κεκτημένον;
wise and of-virtue full or the neither having-acquired
βούλεσθε οὖν πρὸς ταῦτα ὧδε ἀποκρινώμεθα;
do-you-wish then to these-things thus let-us-answer

CLIN. πῶς;
how

ATH. εἰ μέν, ὦ θαυμάσιε, φῶμεν, ἡ σύμπασα οὐρανοῦ ὁδὸς
if indeed O wonderful-one we-say the whole of-heaven course
ἅμα καὶ φορὰ καὶ τῶν ἐν αὐτῷ ὄντων ἁπάντων
at-once and movement and of-the-things in it being all
νοῦ κινήσει καὶ περιφορᾷ καὶ λογισμοῖς ὁμοίαν φύσιν
of-mind to-motion and revolution and reasonings like nature
ἔχει καὶ συγγενῶς ἔρχεται, δῆλον ὡς τὴν ἀρίστην ψυχὴν
has and akin goes clear that the best soul
φατέον ἐπιμελεῖσθαι τοῦ κόσμου παντὸς καὶ ἄγειν αὐτὸν
one-must-say to-care-for the cosmos all and to-lead it
τὴν τοιαύτην ὁδὸν ἐκείνην.
the such course that

CLIN. ὀρθῶς.
rightly

d ATH. εἰ δὲ μανικῶς τε καὶ ἀτάκτως ἔρχεται, τὴν κακήν.
if but madly both and disorderly it-goes the bad

CLIN. καὶ ταῦτα ὀρθῶς.
also these-things rightly

ATH. τίνα οὖν δὴ νοῦ κίνησις φύσιν ἔχει; τοῦτο
what then indeed of-mind motion nature has this
ἤδη χαλεπόν, ὦ φίλοι, ἐρώτημα ἀποκρινόμενον εἰπεῖν
already hard O friends question answering to-say
ἐμφρόνως· διὸ δὴ καὶ ἐμὲ τῆς ἀποκρίσεως ὑμῖν
sensibly wherefore indeed also me of-the answer for-you
δίκαιον τὰ νῦν προσλαμβάνειν.
just the now to-take-a-share

CLIN. εὖ λέγεις.
well you-speak

ATH. μὴ τοίνυν ἐξ ἐναντίας οἷον εἰς ἥλιον ἀποβλέποντες, e
not then from opposite as-if into sun looking
νύκτα ἐν μεσημβρίᾳ ἐπαγόμενοι, ποιησώμεθα τὴν
night at noon bringing-on let-us-make the
ἀπόκρισιν, ὡς νοῦν ποτε θνητοῖς ὄμμασιν ὀψόμενοί τε
answer as mind ever with-mortal eyes going-to-see both
καὶ γνωσόμενοι ἱκανῶς· πρὸς δὲ εἰκόνα τοῦ ἐρωτωμένου
and going-to-know sufficiently toward but image of-the thing-asked
βλέποντας ἀσφαλέστερον ὁρᾶν.
looking safer to-see

CLIN. πῶς λέγεις;
how do-you-mean

ATH. ᾗ προσέοικεν κινήσει νοῦς τῶν δέκα ἐκείνων
to-which resembles motion mind of-the ten those
κινήσεων, τὴν εἰκόνα λάβωμεν· ἣν συναναμνησθεὶς ὑμῖν
motions the image let-us-take which recollecting-together with-you
ἐγὼ κοινῇ τὴν ἀπόκρισιν ποιήσομαι.
I in-common the answer will-make

CLIN. κάλλιστα ἂν λέγοις.
most-finely — you-would-speak

ATH. μεμνήμεθα τοίνυν τῶν τότε ἔτι τοῦτό γε, ὅτι τῶν
we-remember then of-the then-things still this at-least that of-the
πάντων τὰ μὲν κινεῖσθαι, τὰ δὲ μένειν ἔθεμεν;
all-things the(-ones) indeed to-be-moved the(-others) and to-remain we-set

CLIN. ναί.
yes

898 ATH. τῶν δ' αὖ κινουμένων τὰ μὲν ἐν ἑνὶ τόπῳ
of-the and again being-moved the(-ones) indeed in one place
κινεῖσθαι, τὰ δ' ἐν πλείοσιν φερόμενα.
to-be-moved the(-others) and in more being-carried

CLIN. ἔστι ταῦτα.
it-is these-things

ATH. τούτοιν δὴ τοῖν κινησέοιν τὴν ἐν ἑνὶ φερομένην ἀεὶ
of-these-two indeed the two-motions the in one being-carried always
περί γέ τι μέσον ἀνάγκη κινεῖσθαι, τῶν ἐντόρνων
about at-least some center necessity to-be-moved of-the turned-on-a-lathe
οὖσαν μίμημά τι κύκλων, εἶναί τε αὐτὴν τῇ τοῦ νοῦ
being imitation some of-circles to-be and it to-the of-the mind
περιόδῳ πάντως ὡς δυνατὸν οἰκειοτάτην τε καὶ ὁμοίαν.
revolution altogether as possible most-akin both and like

CLIN. πῶς λέγεις;
how do-you-mean

b ATH. τὸ κατὰ ταὐτὰ δήπου καὶ ὡσαύτως καὶ ἐν
the according-to the-same-things surely and in-the-same-way and in
τῷ αὐτῷ καὶ περὶ τὰ αὐτὰ καὶ πρὸς τὰ αὐτὰ καὶ
the same and about the same-things and toward the same-things and
ἕνα λόγον καὶ τάξιν μίαν ἄμφω κινεῖσθαι λέγοντες, νοῦν
one proportion and order one both to-be-moved saying mind
τήν τε ἐν ἑνὶ φερομένην κίνησιν, σφαίρας ἐντόρνου
the both in one being-carried motion of-sphere turned-on-a-lathe

ἀπεικασμένα φοραῖς, οὐκ ἄν ποτε φανεῖμεν φαῦλοι
likened to-movements not — ever we-would-appear poor
δημιουργοὶ λόγῳ καλῶν εἰκόνων.
craftsmen in-word of-fine images
CLIN. ὀρθότατα λέγεις.
most-rightly you-speak
ATH. οὐκοῦν αὖ ἥ γε μηδέποτε ὡσαύτως μηδὲ κατὰ
therefore again the at-least never in-the-same-way nor according-to
τὰ αὐτὰ μηδὲ ἐν ταὐτῷ μηδὲ περὶ ταὐτὰ μηδὲ
the same-things nor in the-same nor about the-same-things nor
πρὸς ταὐτὰ μηδ' ἐν ἑνὶ φερομένη μηδ' ἐν κόσμῳ
toward the-same-things nor in one being-carried nor in order
μηδ' ἐν τάξει μηδὲ ἔν τινι λόγῳ κίνησις ἀνοίας ἂν
nor in arrangement nor in any proportion motion of-folly —
ἁπάσης εἴη συγγενής;
all would-be akin
CLIN. εἴη γὰρ ἂν ἀληθέστατα.
it-would-be for — most-truly
ATH. νῦν δὴ χαλεπὸν οὐδὲν ἔτι διαρρήδην εἰπεῖν ὡς, ἐπειδὴ c
now indeed hard nothing still expressly to-say that since
ψυχὴ μέν ἐστιν ἡ περιάγουσα ἡμῖν πάντα, τὴν δὲ οὐρανοῦ
soul indeed is the carrying-round for-us all-things the and of-heaven
περιφορὰν ἐξ ἀνάγκης περιάγειν φατέον ἐπιμελουμένην
revolution from necessity to-carry-round one-must-say caring-for
καὶ κοσμοῦσαν ἤτοι τὴν ἀρίστην ψυχὴν ἢ τὴν ἐναντίαν.
and ordering either the best soul or the opposite
CLIN. ὦ ξένε, ἀλλὰ ἔκ γε τῶν νῦν εἰρημένων οὐδ'
O stranger but from at-least the now said-things not-even
ὅσιον ἄλλως λέγειν ἢ πᾶσαν ἀρετὴν ἔχουσαν ψυχὴν
holy otherwise to-say than all virtue having soul
μίαν ἢ πλείους περιάγειν αὐτά.
one or more to-carry-round them

d ATH. κάλλιστα, ὦ Κλεινία, ὑπήκουσας τοῖς λόγοις· τόδε
most-finely O Clinias you-have-heeded the arguments this
δὲ προσυπάκουσον ἔτι.
and heed-further still
CLIN. τὸ ποῖον;
the what-sort
ATH. Ἥλιον καὶ σελήνην καὶ τὰ ἄλλα ἄστρα, εἴπερ ψυχὴ
Sun and moon and the other stars if-indeed soul
περιάγει πάντα, ἆρ' οὐ καὶ ἓν ἕκαστον;
carries-round all-things then not also one each
CLIN. τί μήν;
what indeed
ATH. περὶ ἑνὸς δὴ ποιησώμεθα λόγους, οἳ καὶ ἐπὶ
about one indeed let-us-make arguments which also to
πάντα ἡμῖν ἄστρα ἁρμόττοντες φανοῦνται.
all for-us stars fitting will-appear
CLIN. τίνος;
which
e ATH. Ἡλίου πᾶς ἄνθρωπος σῶμα μὲν ὁρᾷ, ψυχὴν δὲ
of-Sun every man body indeed sees soul but
οὐδείς· οὐδὲ γὰρ ἄλλου σώματος οὐδενὸς οὔτε ζῶντος
no-one not-even for of-other body of-any neither living
οὔτε ἀποθνήσκοντος τῶν ζῴων, ἀλλὰ ἐλπὶς πολλὴ τὸ
nor dying of-the living-beings but hope much the
παράπαν τὸ γένος ἡμῖν τοῦτο ἀναίσθητον πάσαις ταῖς τοῦ
altogether the kind for-us this imperceptible to-all the of-the
σώματος αἰσθήσεσι περιπεφυκέναι, νοητὸν δ' εἶναι. νῷ
body senses to-have-grown-around intelligible and to-be by-mind
μόνῳ δὴ καὶ διανοήματι λάβωμεν αὐτοῦ πέρι τὸ τοιόνδε.
alone indeed and by-thought let-us-grasp it about the such
CLIN. ποῖον;
what-sort

ATH. Ἥλιον εἴπερ ἄγει ψυχή, τριῶν αὐτὴν ἓν λέγοντες
Sun if-indeed leads soul of-three it one saying
δρᾶν σχεδὸν οὐκ ἀποτευξόμεθα.
to-do nearly not we-shall-fail
CLIN. τίνων;
of-what

VI · ALL THINGS FULL OF GODS; THE SECOND UNBELIEVER

Soul drives the sun from within, or pushes it with a body of fire or air, or guides it without a body by wondrous powers, and either way it is a god; so all things are full of gods. The unbeliever must refute this or live believing. To the second, who grants the gods but thinks they neglect men, misled by the fortunes of the wicked, the Athenian answers that the gods see and hear all, are good and wholly virtuous, and so cannot neglect anything from idleness or cowardice.

ATH. ὡς ἢ ἐνοῦσα ἐντὸς τῷ περιφερεῖ τούτῳ φαινομένῳ 899
that either being-in within the round this appearing
σώματι πάντῃ διακομίζει τὸ τοιοῦτον, καθάπερ ἡμᾶς ἡ
body everywhere conveys the such as us the
παρ᾽ ἡμῖν ψυχὴ πάντῃ περιφέρει· ἤ ποθεν ἔξωθεν
among us soul everywhere carries-round or from-somewhere from-outside
σῶμα αὑτῇ πορισαμένη πυρὸς ἤ τινος ἀέρος, ὡς λόγος
body for-itself having-provided of-fire or of-some air as account
ἐστί τινων, ὠθεῖ βίᾳ σώματι σῶμα· ἢ τρίτον αὐτὴ
is of-some pushes by-force by-body body or third itself
ψιλὴ σώματος οὖσα, ἔχουσα δὲ δυνάμεις ἄλλας τινὰς
bare of-body being having and powers other some
ὑπερβαλλούσας θαύματι, ποδηγεῖ.
exceeding in-wonder guides

CLIN. ναί, τοῦτο μὲν ἀνάγκη, τούτων ἕν γέ τι δρῶσαν
yes this indeed necessity of-these one at-least some doing
ψυχὴν πάντα διάγειν.
soul all-things to-carry-through
ATH. αὐτοῦ δὴ ἄμεινον ταύτην τὴν ψυχήν, εἴτε ἐν ἅρμασιν
of-it indeed better this the soul whether in chariots
ἔχουσα ἡμῖν ἥλιον ἄγει φῶς τοῖς ἅπασιν, εἴτε ἔξωθεν, εἴθ'
having for-us sun leads light to-the all or from-outside or
ὅπως εἴθ' ὅπῃ, θεὸν ἡγεῖσθαι χρεὼν πάντα ἄνδρα. ἢ πῶς;
how or wherever god to-consider needful every man or how
b CLIN. ναί, τόν γέ που μὴ ἐπὶ τὸ ἔσχατον ἀφιγμένον
yes the(-one) at-least surely not to the uttermost having-arrived
ἀνοίας.
of-folly
ATH. ἄστρων δὴ πέρι πάντων καὶ σελήνης, ἐνιαυτῶν τε
of-stars indeed about all and of-moon of-years both
καὶ μηνῶν καὶ πασῶν ὡρῶν πέρι, τίνα ἄλλον λόγον
and of-months and of-all seasons about what other argument
ἐροῦμεν ἢ τὸν αὐτὸν τοῦτον, ὡς ἐπειδὴ ψυχὴ μὲν ἢ
shall-we-say than the same this that since soul indeed or
ψυχαὶ πάντων τούτων αἴτιαι ἐφάνησαν, ἀγαθαὶ δὲ πᾶσαν
souls of-all these-things causes appeared good and in-all
ἀρετήν, θεοὺς αὐτὰς εἶναι φήσομεν, εἴτε ἐν σώμασιν
virtue gods them to-be we-shall-say whether in bodies
ἐνοῦσαι, ζῷα ὄντα, κοσμοῦσιν πάντα οὐρανόν, εἴτε
being-in living-beings being they-order all heaven or
ὅπῃ τε καὶ ὅπως; ἔσθ' ὅστις ταῦτα ὁμολογῶν ὑπομενεῖ
wherever both and however is-there whoever these-things agreeing will-endure
μὴ θεῶν εἶναι πλήρη πάντα;
not of-gods to-be full all-things
c CLIN. οὐκ ἔστιν οὕτως, ὦ ξένε, παραφρονῶν οὐδείς.
not there-is so O stranger out-of-his-mind no-one

ATH. τῷ μὲν τοίνυν μὴ νομίζοντι θεοὺς ἐν τῷ
to-the(-one) indeed then not believing-in gods in the
πρόσθεν χρόνῳ, ὦ Μέγιλλέ τε καὶ Κλεινία, εἰπόντες
earlier time O Megillus both and Clinias having-said
ὅρους ἀπαλλαττώμεθα.
limits let-us-be-quit
CLIN. τίνας;
what
ATH. ἢ διδάσκειν ἡμᾶς ὡς οὐκ ὀρθῶς λέγομεν τιθέμενοι d
either to-teach us that not rightly we-speak laying-down
ψυχὴν γένεσιν ἁπάντων εἶναι πρώτην, καὶ τἆλλα ὁπόσα
soul generation of-all to-be first and the-rest as-many-as
τούτων συνεπόμενα εἴπομεν, ἢ μὴ δυνάμενον βέλτιον λέγειν
of-these following-together we-said or not being-able better to-speak
ἡμῶν, ἡμῖν πείθεσθαι καὶ ζῆν θεοὺς ἡγούμενον εἰς τὸν
than-us us to-obey and to-live gods believing-in for the
ἐπίλοιπον βίον. ὁρῶμεν οὖν εἴτε ἱκανῶς ἤδη τοῖς οὐχ
remaining life let-us-see then whether sufficiently already to-those not
ἡγουμένοις θεοὺς εἰρήκαμεν ὡς εἰσὶν θεοί, εἴτε ἐπιδεῶς.
believing-in gods we-have-said that are gods or deficiently
CLIN. ἥκιστά γε, ὦ ξένε, πάντων ἐπιδεῶς.
least at-least O stranger of-all deficiently
ATH. τούτοις μὲν τοίνυν ἡμῖν τὸ λόγων τέλος ἐχέτω· τὸν e
for-these indeed then for-us the of-arguments end let-have the(-one)
δὲ ἡγούμενον μὲν θεοὺς εἶναι, μὴ φροντίζειν δὲ αὐτοὺς
and believing indeed gods to-be not to-care but them
τῶν ἀνθρωπίνων πραγμάτων, παραμυθητέον. ὦ ἄριστε δὴ
of-the human affairs one-must-console O best-one indeed
φῶμεν, ὅτι μὲν ἡγῇ θεούς, συγγένειά τις ἴσως σε θεία
let-us-say that indeed you-believe-in gods kinship some perhaps you divine
πρὸς τὸ σύμφυτον ἄγει τιμᾶν καὶ νομίζειν εἶναι· κακῶν δὲ
toward the inborn leads to-honor and to-believe to-be of-bad but

ἀνθρώπων καὶ ἀδίκων τύχαι ἰδίᾳ καὶ δημοσίᾳ, ἀληθείᾳ
men and unjust fortunes privately and publicly in-truth
μὲν οὐκ εὐδαίμονες, δόξαις δὲ εὐδαιμονιζόμεναι σφόδρα
indeed not happy in-opinions but being-deemed-happy greatly
ἀλλ᾽ οὐκ ἐμμελῶς, ἄγουσί σε πρὸς ἀσέβειαν, ἔν τε μούσαις
but not harmoniously lead you toward impiety in both songs
οὐκ ὀρθῶς ὑμνούμεναι ἅμα καὶ ἐν παντοίοις λόγοις.
not rightly being-hymned at-once and in all-kinds-of words
900 ἢ καὶ πρὸς τέλος ἴσως ἀνθρώπους ὁρῶν ἐλθόντας γηραιούς,
or also toward end perhaps men seeing having-come aged
παῖδας παίδων καταλιπόντας ἐν τιμαῖς ταῖς μεγίσταις,
children of-children having-left in honors the greatest
ταράττῃ τὸ νῦν ἐν ἅπασι τούτοις ἰδών, ἢ δι᾽ ἀκοῆς
you-are-troubled the now in all these-things having-seen or through hearing
αἰσθόμενος ἢ καὶ παντάπασιν αὐτὸς αὐτόπτης, προστυχὴς
having-perceived or even altogether yourself eyewitness happening-upon
πολλῶν ἀσεβημάτων καὶ δεινῶν γενομένων τισίν, δι᾽
many impieties and terrible having-come-about to-some because-of
αὐτὰ ταῦτα ἐκ σμικρῶν εἰς τυραννίδας τε καὶ τὰ μέγιστα
themselves these-things from small to tyrannies both and the greatest
ἀφικομένους· τότε διὰ πάντα τὰ τοιαῦτα δῆλος εἶ
having-arrived then because-of all the such-things clear you-are
μέμφεσθαι μὲν θεοὺς ὡς αἰτίους ὄντας τῶν τοιούτων διὰ
to-blame indeed gods as causes being of-the such-things because-of
συγγένειαν οὐκ ἂν ἐθέλων, ἀγόμενος δὲ ὑπό τε ἀλογίας
kinship not — being-willing being-led but by both unreason
ἅμα καὶ οὐ δυνάμενος δυσχεραίνειν θεούς, εἰς τοῦτο νῦν
at-once and not being-able to-be-disgusted-with gods into this now
τὸ πάθος ἐλήλυθας, ὥστ᾽ εἶναι μὲν δοκεῖν αὐτούς, τῶν δὲ
the condition you-have-come so-as to-be indeed to-think them of-the but
ἀνθρωπίνων καταφρονεῖν καὶ ἀμελεῖν πραγμάτων. ἵνα
human to-despise and to-neglect affairs in-order-that

οὖν μὴ ἐπὶ μεῖζον ἔλθῃ σοι πάθος πρὸς ἀσέβειαν τὸ νῦν
then not to greater come for-you condition toward impiety the now
παρὸν δόγμα, ἀλλ' ἐάν πως οἷον ἀποδιοπομπήσασθαι
present opinion but if somehow as-it-were to-ward-off
λόγοις αὐτὸ προσιὸν γενώμεθα δυνατοί, πειρώμεθα,
by-arguments it approaching we-become able let-us-try
συνάψαντες τὸν ἑξῆς λόγον ᾧ πρὸς τὸν τὸ παράπαν
having-joined the next argument with-which toward the the altogether
οὐχ ἡγούμενον θεοὺς ἐξ ἀρχῆς διεπερανάμεθα, τούτῳ τὰ νῦν
not believing-in gods from beginning we-completed to-this the now
προσχρήσασθαι. σὺ δ', ὦ Κλεινία τε καὶ Μέγιλλε, ὑπὲρ
to-use-besides you and O Clinias both and Megillus on-behalf-of
τοῦ νέου καθάπερ ἐν τοῖς ἔμπροσθεν ἀποκρινόμενοι
the young-man as in the earlier-things answering
διαδέχεσθε· ἂν δέ τι δύσκολον ἐμπίπτῃ τοῖς λόγοις,
take-over if and anything difficult fall-upon the arguments
ἐγὼ σφῷν ὥσπερ νυνδὴ δεξάμενος διαβιβῶ τὸν ποταμόν.
I you-two as just-now having-received will-carry-across the river
CLIN. ὀρθῶς λέγεις· καὶ σύ τε οὕτω ταῦτα δρᾶ, ποιήσομέν
rightly you-speak and you both so these-things do we-shall-do
τε ἡμεῖς εἰς τὸ δυνατὸν ἃ λέγεις.
and we to the possible what you-say
ATH. ἀλλ' οὐδὲν τάχ' ἂν ἴσως εἴη χαλεπὸν ἐνδείξασθαι d
but nothing perhaps — perhaps would-be hard to-show
τοῦτό γε, ὡς ἐπιμελεῖς σμικρῶν εἰσιν θεοὶ οὐχ ἧττον,
this at-least that caring-for small-things are gods not less
μᾶλλον δέ, ἢ τῶν μεγέθει διαφερόντων. ἤκουε γάρ
rather but than the in-magnitude surpassing he-heard for
που καὶ παρῆν τοῖς νυνδὴ λεγομένοις, ὡς ἀγαθοί
surely also he-was-present at-the just-now being-said that good

γε ὄντες πᾶσαν ἀρετὴν τὴν τῶν πάντων ἐπιμέλειαν
at-least being all virtue the of-the all-things care
οἰκειοτάτην αὑτῶν οὖσαν κέκτηνται.
most-proper of-themselves being they-possess

CLIN. καὶ σφόδρα γε ἐπήκουεν.
and very at-least he-heard

ATH. τὸ μετὰ τοῦτο τοίνυν κοινῇ συνεξεταζόντων τίνα
the after this then in-common let-us-examine-together what
λέγοντες ἀρετὴν αὐτῶν ὁμολογοῦμεν αὐτοὺς ἀγαθοὺς εἶναι.
saying virtue of-them we-agree them good to-be
φέρε, τὸ σωφρονεῖν νοῦν τε κεκτῆσθαί φαμεν ἀρετῆς,
come the to-be-temperate mind and to-have-acquired we-say of-virtue
τὰ δ' ἐναντία κακίας;
the and opposites of-vice

CLIN. φαμέν.
we-say

e ATH. τί δέ; ἀρετῆς μὲν ἀνδρείαν εἶναι, δειλίαν δὲ κακίας;
what and of-virtue indeed courage to-be cowardice and of-vice

CLIN. πάνυ μὲν οὖν.
certainly indeed then

ATH. καὶ τὰ μὲν αἰσχρὰ τούτων, τὰ δὲ καλὰ
and the(-ones) indeed shameful of-these the(-others) and fine
φήσομεν;
we-shall-say

CLIN. ἀνάγκη.
necessity

ATH. καὶ τῶν μὲν προσήκειν ἡμῖν, εἴπερ, ὁπόσα
and of-the(-ones) indeed to-belong to-us if-indeed as-many-as
φλαῦρα, θεοῖς δὲ οὔτε μέγα οὔτε σμικρὸν τῶν τοιούτων
base to-gods and neither great nor small of-the such
μετὸν ἐροῦμεν;
to-have-a-share we-shall-say

CLIN. καὶ ταῦθ' οὕτως ὁμολογοῖ πᾶς ἄν.
also these-things so would-agree everyone —

ATH. τί δέ; ἀμέλειάν τε καὶ ἀργίαν καὶ τρυφὴν εἰς
what and neglect both and idleness and luxury into
ἀρετὴν ψυχῆς θήσομεν, ἢ πῶς λέγεις;
virtue of-soul shall-we-set or how do-you-mean

CLIN. καὶ πῶς;
and how

ATH. ἀλλ' εἰς τοὐναντίον;
but into the-opposite

CLIN. ναί.
yes

ATH. τἀναντία ἄρα τούτοις εἰς τοὐναντίον; 901
the-opposites then to-these into the-opposite

CLIN. τοὐναντίον.
the-opposite

ATH. τί οὖν δή; τρυφῶν καὶ ἀμελὴς ἀργός τε, ὃν ὁ
what then indeed luxurious and neglectful idle both whom the
ποιητὴς κηφῆσι κοθούροισι μάλιστα εἴκελον ἔφασκεν εἶναι,
poet to-drones stingless most like said to-be
γίγνοιτ' ἂν τοιοῦτος πᾶς ἡμῖν;
would-become — such everyone for-us

CLIN. ὀρθότατά γε εἰπών.
most-rightly at-least having-said

ATH. οὐκοῦν τόν γε θεὸν οὐ ῥητέον ἔχειν ἦθος
therefore the at-least god not one-must-say to-have character
τοιοῦτον, ὅ γέ τοι αὐτὸς μισεῖ, τῷ τέ τι
such which at-least you-know himself hates to-the both anything
τοιοῦτον φθέγγεσθαι πειρωμένῳ οὐκ ἐπιτρεπτέον.
such to-utter trying not one-must-permit

CLIN. οὐ μὲν δή· πῶς γὰρ ἄν;
not indeed indeed how for —

b ATH. ᾧ δὴ προσήκει μὲν πράττειν καὶ ἐπιμελεῖσθαι
to-whom indeed it-belongs indeed to-do and to-care-for
διαφερόντως τινός, ὁ δὲ τούτου γε νοῦς τῶν μὲν
exceptionally anything the and of-this at-least mind the(-things) indeed
μεγάλων ἐπιμελεῖται, τῶν σμικρῶν δὲ ἀμελεῖ, κατὰ
great cares-for the small-things but neglects according-to
τίνα ἐπαινοῦντες τὸν τοιοῦτον λόγον οὐκ ἂν παντάπασι
what praising the such argument not — altogether
πλημμελοῖμεν; σκοπῶμεν δὲ ὧδε. ἆρ' οὐ κατὰ δύο εἴδη
would-we-strike-a-false-note let-us-consider and thus then not according-to two kinds
τὸ τοιοῦτον πράττει ὁ πράττων, εἴτε θεὸς εἴτ' ἄνθρωπος;
the such does the doing whether god or man
CLIN. ποίω δὴ λέγομεν;
what-two indeed do-we-mean

c ATH. ἢ διαφέρον οὐδὲν οἰόμενος εἶναι τῷ ὅλῳ
either different nothing thinking to-be to-the whole
ἀμελουμένων τῶν σμικρῶν, ἢ ῥᾳθυμίᾳ καὶ τρυφῇ, εἰ
being-neglected the small-things or by-indolence and luxury if
διαφέρει, ὁ δὲ ἀμελεῖ. ἢ ἔστιν ἄλλως πως γιγνομένη
it-matters the(-one) and neglects or is-it otherwise somehow coming-about
ἀμέλεια; οὐ γάρ που ὅταν γε ἀδύνατον ᾖ τῶν
neglect not for surely whenever at-least impossible be the
ἁπάντων ἐπιμελεῖσθαι, τότε ἀμέλεια ἔσται τῶν σμικρῶν ἢ
all-things to-care-for then neglect will-be of-the small-things or
μεγάλων, μὴ ἐπιμελουμένῳ ὧν ἂν δυνάμει θεὸς ἢ φαῦλός
great not caring-for which — in-power god or inferior
τις ὢν ἐλλιπὴς καὶ μὴ δυνατὸς ἐπιμελεῖσθαι γίγνηται.
someone being deficient and not able to-care-for become
CLIN. πῶς γὰρ ἄν;
how for —

ATH. νῦν δὴ δύ' ὄντες τρισὶν ἡμῖν οὖσιν ἀποκρινάσθωσαν d
now indeed two being to-three us being let-answer
οἱ θεοὺς μὲν ἀμφότεροι ὁμολογοῦντες εἶναι, παραιτητοὺς
the gods indeed both agreeing to-be placable
δὲ ἄτερος, ὁ δὲ ἀμελεῖς τῶν σμικρῶν. πρῶτον μὲν
but the-one the(-other) and neglectful of-the small-things first indeed
θεοὺς ἀμφότεροί φατε γιγνώσκειν καὶ ὁρᾶν καὶ ἀκούειν
gods both you-say to-know and to-see and to-hear
πάντα, λαθεῖν δὲ αὐτοὺς οὐδὲν δυνατὸν εἶναι τῶν
all-things to-escape but them nothing possible to-be of-the-things
ὁπόσων εἰσὶν αἱ αἰσθήσεις τε καὶ ἐπιστῆμαι· ταύτῃ
of-which are the perceptions both and knowledges in-this-way
λέγετε ἔχειν ταῦτα, ἢ πῶς;
do-you-say to-be these-things or how
CLIN. οὕτως.
so
ATH. τί δέ; δύνασθαι πάντα ὁπόσων αὖ δύναμίς ἐστιν
what and to-be-able all-things of-as-many-as again power is
θνητοῖς τε καὶ ἀθανάτοις;
to-mortals both and to-immortals
CLIN. πῶς γὰρ οὐ συγχωρήσονται καὶ ταῦτα οὕτως ἔχειν;
how for not they-will-concede also these-things so to-be
ATH. καὶ μὴν ἀγαθούς γε καὶ ἀρίστους ὡμολογήκαμεν e
and indeed good at-least and best we-have-agreed
αὐτοὺς εἶναι πέντε ὄντες.
them to-be five being
CLIN. σφόδρα γε.
very at-least
ATH. ἆρ' οὖν οὐ ῥᾳθυμίᾳ μὲν καὶ τρυφῇ ἀδύνατον αὐτοὺς
so then not by-indolence indeed and luxury impossible them
ὁμολογεῖν πράττειν ὁτιοῦν τὸ παράπαν, ὄντας γε οἵους
to-agree to-do anything the altogether being at-least such-as

ὁμολογοῦμεν; δειλίας γὰρ ἔκγονος ἔν γε ἡμῖν ἀργία,
we-agree of-cowardice for offspring in at-least us idleness
ῥᾳθυμία δὲ ἀργίας καὶ τρυφῆς.
indolence and of-idleness and of-luxury
CLIN. ἀληθέστατα λέγεις.
most-truly you-speak
ATH. ἀργίᾳ μὲν δὴ καὶ ῥᾳθυμίᾳ οὐδεὶς ἀμελεῖ θεῶν· οὐ
by-idleness indeed indeed and by-indolence no-one neglects of-gods not
γὰρ μέτεστιν αὐτῷ που δειλίας.
for there-is-a-share to-him surely of-cowardice
CLIN. ὀρθότατα λέγεις.
most-rightly you-speak

VII · PROVIDENCE IN SMALL THINGS

Men are the gods' possessions, and the gods neither neglect them in ignorance nor knowingly like the worst of men. A physician, a pilot, or a mason who neglects the small parts fails the whole, and the god is no worse a craftsman than mortals. The young man is told that all is ordered for the whole, and the part exists for the whole, not the whole for the part; the god, like a checkers-player, moves each soul to the place its character has earned, up toward the holy or down toward Hades.

902 ATH. οὐκοῦν τὸ λοιπόν, εἴπερ ἀμελοῦσι τῶν σμικρῶν καὶ
therefore the remaining if-indeed they-neglect the small-things and
ὀλίγων τῶν περὶ τὸ πᾶν, ἢ γιγνώσκοντες ὡς τὸ παράπαν
few the about the all either knowing that the altogether
οὐδενὸς τῶν τοιούτων ἐπιμελεῖσθαι δεῖ, δρῷεν ἂν
of-none of-the such to-care-for one-must they-would-do —
τοῦτο, ἢ τί τὸ λοιπὸν πλὴν τῷ γιγνώσκειν τοὐναντίον;
this or what the remaining except by-the knowing the-opposite
CLIN. οὐδέν.
nothing

ATH. πότερον οὖν, ὦ ἄριστε καὶ βέλτιστε, θῶμέν σε b
whether then O best-one and finest are-we-to-set you
λέγοντα ὡς ἀγνοοῦντάς τε καὶ δέον ἐπιμελεῖσθαι
saying that being-ignorant both and it-being-needful to-care-for
δι᾽ ἄγνοιαν ἀμελοῦντας, ἢ γιγνώσκοντας ὅτι δεῖ,
because-of ignorance neglecting or knowing that one-must
καθάπερ οἱ φαυλότατοι τῶν ἀνθρώπων λέγονται ποιεῖν,
as the basest of-the men are-said to-do
εἰδότες ἄλλα εἶναι βελτίω πράττειν ὧν δὴ
knowing other-things to-be better to-do than-the-things indeed
πράττουσιν, διά τινας ἥττας ἡδονῶν ἢ λυπῶν οὐ ποιεῖν;
they-do because-of some defeats by-pleasures or pains not to-do
CLIN. πῶς γὰρ ἄν;
how for —
ATH. οὐκοῦν δὴ τά γε ἀνθρώπινα πράγματα τῆς τε
therefore indeed the at-least human affairs of-the both
ἐμψύχου μετέχει φύσεως ἅμα, καὶ θεοσεβέστατον αὐτό
ensouled partake nature at-once and most-god-fearing itself
ἐστι πάντων ζῴων ἄνθρωπος;
is of-all living-beings man
CLIN. ἔοικε γοῦν.
it-seems at-any-rate
ATH. θεῶν γε μὴν κτήματά φαμεν εἶναι πάντα ὁπόσα
of-gods at-least indeed possessions we-say to-be all as-many-as
θνητὰ ζῷα, ὧνπερ καὶ τὸν οὐρανὸν ὅλον.
mortal living-beings of-which-very also the heaven whole
CLIN. πῶς γὰρ οὔ;
how for not
ATH. ἤδη τοίνυν σμικρὰ ἢ μεγάλα τις φάτω ταῦτα εἶναι c
now then small or great anyone let-say these-things to-be
τοῖς θεοῖς· οὐδετέρως γὰρ τοῖς κεκτημένοις ἡμᾶς ἀμελεῖν ἂν
to-the gods in-neither-case for for-the having-acquired us to-neglect —

εἴη προσῆκον, ἐπιμελεστάτοις γε οὖσι καὶ ἀρίστοις.
it-would-be fitting most-careful at-least being and best
σκοπῶμεν γὰρ δὴ καὶ τόδε ἔτι πρὸς τούτοις.
let-us-consider for indeed also this still in-addition-to these
CLIN. τὸ ποῖον;
the what-sort
ATH. τὸ περί τε αἰσθήσεως καὶ δυνάμεως, ἆρ' οὐκ
the about both perception and power then not
ἐναντίως ἀλλήλοιν πρὸς ῥᾳστώνην καὶ χαλεπότητά
oppositely to-one-another toward ease and difficulty
ἐστον πεφυκότε;
the-two-are being-by-nature
CLIN. πῶς λέγεις;
how do-you-mean
ATH. ὁρᾶν μέν που καὶ ἀκούειν τὰ σμικρὰ χαλεπώτερον
to-see indeed surely and to-hear the small-things harder
ἢ τὰ μεγάλα, φέρειν δὲ αὖ καὶ κρατεῖν καὶ ἐπιμελεῖσθαι
than the great-things to-carry but again and to-master and to-care-for
τῶν σμικρῶν καὶ ὀλίγων παντὶ ῥᾷον ἢ τῶν ἐναντίων.
the small-things and few for-everyone easier than the opposites
d CLIN. καὶ πολύ γε.
and much at-least
ATH. ἰατρῷ δὲ προστεταγμένον ὅλον τι θεραπεύειν,
to-physician and having-been-assigned whole some to-treat
βουλομένῳ καὶ δυναμένῳ τῶν μὲν μεγάλων ἐπιμελεῖσθαι,
wishing and being-able the indeed great to-care-for
τῶν μορίων δὲ καὶ σμικρῶν ἀμελοῦντι, ἕξει ποτὲ καλῶς
the parts but and small neglecting will-be ever well
αὐτῷ τὸ πᾶν;
for-him the all
CLIN. οὐδαμῶς.
in-no-way

ATH. οὐ μὴν οὐδὲ κυβερνήταις οὐδὲ στρατηγοῖς οὐδ' e
not indeed nor to-pilots nor to-generals nor
οἰκονόμοις, οὐδ' αὖ τισὶν πολιτικοῖς οὐδ' ἄλλῳ τῶν
to-household-managers nor again to-some statesmen nor to-other of-the
τοιούτων οὐδενί, χωρὶς τῶν ὀλίγων καὶ σμικρῶν πολλὰ
such any apart-from the few and small-things many
ἢ μεγάλα· οὐδὲ γὰρ ἄνευ σμικρῶν τοὺς μεγάλους φασὶν
or great not-even for without small the large they-say
λιθολόγοι λίθους εὖ κεῖσθαι.
masons stones well to-lie
CLIN. πῶς γὰρ ἄν;
how for —
ATH. μὴ τοίνυν τόν γε θεὸν ἀξιώσωμέν ποτε θνητῶν 903
not then the at-least god let-us-deem ever than-mortal
δημιουργῶν φαυλότερον, οἳ τὰ προσήκοντα αὑτοῖς ἔργα,
craftsmen inferior who the belonging to-themselves works
ὅσῳπερ ἂν ἀμείνους ὦσιν, τόσῳ ἀκριβέστερα καὶ
by-as-much-as — better they-be by-so-much more-precise and
τελεώτερα μιᾷ τέχνῃ σμικρὰ καὶ μεγάλα ἀπεργάζονται· τὸν
more-perfect by-one art small and great accomplish the
δὲ θεὸν ὄντα τε σοφώτατον βουλόμενόν τ' ἐπιμελεῖσθαι
and god being both wisest wishing and to-care-for
καὶ δυνάμενον, ὧν μὲν ῥᾷον ἦν ἐπιμεληθῆναι σμικρῶν
and being-able which indeed easier it-was to-care-for small
ὄντων, μηδαμῇ ἐπιμελεῖσθαι καθάπερ ἀργὸν ἢ δειλόν
being in-no-way to-care-for as idle or cowardly
τινα διὰ πόνους ῥᾳθυμοῦντα, τῶν δὲ μεγάλων.
someone because-of toils taking-it-easy of-the and great-things

CLIN. μηδαμῶς δόξαν τοιαύτην περὶ θεῶν, ὦ ξένε,
in-no-way opinion such about gods O stranger
ἀποδεχώμεθα· οὐδαμῇ γὰρ οὔτε ὅσιον οὔτ' ἀληθὲς τὸ
let-us-accept in-no-way for neither holy nor true the
διανόημα διανοοίμεθ' ἄν.
thought we-would-think —

ATH. δοκοῦμεν δέ μοι νῦν ἤδη μάλιστα μετρίως διειλέχθαι
we-seem and to-me now already most moderately to-have-discussed
τῷ φιλαιτίῳ τῆς ἀμελείας πέρι θεῶν.
with-the fond-of-blaming of-the neglect about gods

CLIN. ναί.
yes

b ATH. τῷ γε βιάζεσθαι τοῖς λόγοις ὁμολογεῖν αὐτὸν μὴ
by-the at-least to-force by-the arguments to-agree himself not
λέγειν ὀρθῶς· ἐπῳδῶν γε μὴν προσδεῖσθαί μοι δοκεῖ
to-speak rightly of-incantations at-least indeed to-need-besides to-me seems
μύθων ἔτι τινῶν.
of-stories still some

CLIN. ποίων, ὠγαθέ;
what-sort my-good-man

c ATH. πείθωμεν τὸν νεανίαν τοῖς λόγοις ὡς τῷ τοῦ παντὸς
let-us-persuade the young-man by-the arguments that by-the of-the all
ἐπιμελουμένῳ πρὸς τὴν σωτηρίαν καὶ ἀρετὴν τοῦ ὅλου
caring-for toward the preservation and virtue of-the whole
πάντ' ἐστὶ συντεταγμένα, ὧν καὶ τὸ μέρος εἰς δύναμιν
all-things are arranged-together of-which also the part to power
ἕκαστον τὸ προσῆκον πάσχει καὶ ποιεῖ. τούτοις δ' εἰσὶν
each the fitting suffers and does over-these and are
ἄρχοντες προστεταγμένοι ἑκάστοις ἐπὶ τὸ σμικρότατον
rulers appointed over-each to the smallest
ἀεὶ πάθης καὶ πράξεως, εἰς μερισμὸν τὸν ἔσχατον τέλος
always of-passion and of-action into division the last end

ἀπειργασμένοι· ὧν ἓν καὶ τὸ σόν, ὦ σχέτλιε, μόριον
having-accomplished of-which one also the yours O wretch part
εἰς τὸ πᾶν συντείνει βλέπον ἀεί, καίπερ πάνσμικρον ὄν,
to the all strains looking always although very-small being
σὲ δὲ λέληθεν περὶ τοῦτο αὐτὸ ὡς γένεσις ἕνεκα ἐκείνου
you but has-escaped about this itself that generation for-the-sake of-that
γίγνεται πᾶσα, ὅπως ᾖ τῷ τοῦ παντὸς βίῳ ὑπάρχουσα
comes-about all so-that be for-the of-the all life belonging
εὐδαίμων οὐσία, οὐχ ἕνεκα σοῦ γιγνομένη, σὺ δ' ἕνεκα
happy being not for-the-sake of-you coming-about you but for-the-sake
ἐκείνου. πᾶς γὰρ ἰατρὸς καὶ πᾶς ἔντεχνος δημιουργὸς
of-that every for physician and every skilled craftsman
παντὸς μὲν ἕνεκα πάντα ἐργάζεται, πρὸς τὸ κοινῇ
of-whole indeed for-the-sake all works toward the in-common
συντεῖνον βέλτιστον μέρος μὴν ἕνεκα ὅλου καὶ οὐχ ὅλον
straining best part indeed for-the-sake of-whole and not whole
μέρους ἕνεκα ἀπεργάζεται· σὺ δὲ ἀγανακτεῖς, ἀγνοῶν ὅπῃ
of-part for-the-sake produces you but are-vexed not-knowing how
τὸ περὶ σὲ ἄριστον τῷ παντὶ συμβαίνει καὶ σοὶ κατὰ
the about you best for-the all turns-out and for-you according-to
δύναμιν τὴν τῆς κοινῆς γενέσεως. ἐπεὶ δὲ ἀεὶ ψυχὴ
power the of-the common generation since and always soul
συντεταγμένη σώματι τοτὲ μὲν ἄλλῳ, τοτὲ δὲ ἄλλῳ,
arranged-together with-body at-times indeed with-one at-times and with-another
μεταβάλλει παντοίας μεταβολὰς δι' ἑαυτὴν ἢ δι'
changes all-kinds-of changes because-of itself or because-of
ἑτέραν ψυχήν, οὐδὲν ἄλλο ἔργον τῷ πεττευτῇ λείπεται
another soul nothing other work to-the checkers-player is-left
πλὴν μετατιθέναι τὸ μὲν ἄμεινον γιγνόμενον ἦθος εἰς
except to-transfer the indeed better becoming character into

βελτίω τόπον, χεῖρον δὲ εἰς τὸν χείρονα, κατὰ τὸ πρέπον
better place worse and into the worse according-to the fitting
αὐτῶν ἕκαστον, ἵνα τῆς προσηκούσης μοίρας λαγχάνῃ.
of-them each in-order-that of-the belonging lot it-obtain
CLIN. πῇ λέγεις;
how do-you-mean
904 ATH. ᾗπερ ἂν ἔχοι ῥᾳστώνης ἐπιμελείας θεοῖς τῶν
in-which-very — it-would-have ease of-care for-gods of-the
πάντων, ταύτῃ μοι δοκῶ φράζειν. εἰ μὲν γὰρ πρὸς
all-things in-this-way to-me I-seem to-tell if indeed for toward
τὸ ὅλον ἀεὶ βλέπων πλάττοι τις μετασχηματίζων τὰ
the whole always looking should-mold anyone reshaping the
πάντα, οἷον ἐκ πυρὸς ὕδωρ ἔμψυχον, καὶ μὴ σύμπολλα
all-things as from fire water ensouled and not many-together
ἐξ ἑνὸς ἢ ἐκ πολλῶν ἕν, πρώτης ἢ δευτέρας ἢ καὶ
from one or from many one of-first or second or even
τρίτης γενέσεως μετειληφότα πλήθεσιν ἄπειρ' ἂν εἴη
third generation having-partaken in-numbers infinite — would-be
τῆς μετατιθεμένης κοσμήσεως· νῦν δ' ἔστι θαυμαστὴ
of-the being-transposed ordering now but there-is wondrous
ῥᾳστώνη τῷ τοῦ παντὸς ἐπιμελουμένῳ.
ease for-the of-the all caring-for
CLIN. πῶς αὖ λέγεις;
how again do-you-mean
b ATH. ὧδε. ἐπειδὴ κατεῖδεν ἡμῶν ὁ βασιλεὺς ἐμψύχους οὔσας
thus since saw our the king ensouled being
τὰς πράξεις ἁπάσας καὶ πολλὴν μὲν ἀρετὴν ἐν αὐταῖς
the actions all and much indeed virtue in them
οὖσαν, πολλὴν δὲ κακίαν, ἀνώλεθρον δὲ ὂν γενόμενον,
being much and vice indestructible and being having-come-about
ἀλλ' οὐκ αἰώνιον, ψυχὴν καὶ σῶμα, καθάπερ οἱ κατὰ νόμον
but not eternal soul and body as the according-to law

ὄντες θεοί — γένεσις γὰρ οὐκ ἄν ποτε ἦν ζῴων
being gods generation for not — ever there-would-be of-living-beings
ἀπολομένου τούτοιν θατέρου — καὶ τὸ μὲν ὠφελεῖν ἀεὶ
having-perished of-these-two either and the(-one) indeed to-benefit always
πεφυκός, ὅσον ἀγαθὸν ψυχῆς, διενοήθη, τὸ δὲ κακὸν
being-by-nature as-much-as good of-soul he-considered the and bad
βλάπτειν· ταῦτα πάντα συνιδών, ἐμηχανήσατο ποῦ
to-harm these-things all having-seen-together he-contrived where
κείμενον ἕκαστον τῶν μερῶν νικῶσαν ἀρετήν, ἡττωμένην
lying each of-the parts victorious virtue defeated
δὲ κακίαν, ἐν τῷ παντὶ παρέχοι μάλιστ' ἂν καὶ ῥᾷστα καὶ
and vice in the all would-provide most — and most-easily and
ἄριστα. μεμηχάνηται δὴ πρὸς πᾶν τοῦτο τὸ ποιόν τι
best he-has-contrived indeed toward all this the of-what-sort anything
γιγνόμενον ἀεὶ ποίαν ἕδραν δεῖ μεταλαμβάνον οἰκίζεσθαι
becoming always what-sort seat one-must taking-in-exchange to-be-settled
καὶ τίνας ποτὲ τόπους· τῆς δὲ γενέσεως τοῦ ποίου τινὸς
and what ever places of-the but generation of-the of-what-sort some
ἀφῆκε ταῖς βουλήσεσιν ἑκάστων ἡμῶν τὰς αἰτίας. ὅπῃ γὰρ
he-left to-the wills of-each of-us the causes wherever for
ἂν ἐπιθυμῇ καὶ ὁποῖός τις ὢν τὴν ψυχήν, ταύτῃ σχεδὸν
— one-desire and of-what-sort someone being the soul in-this-way nearly
ἑκάστοτε καὶ τοιοῦτος γίγνεται ἅπας ἡμῶν ὡς τὸ πολύ.
each-time also such becomes every of-us for the most-part

CLIN. τὸ γοῦν εἰκός.
the at-any-rate likely

ATH. μεταβάλλει μὲν τοίνυν πάνθ' ὅσα μέτοχά ἐστιν d
change indeed then all-things as-many-as partaking are
ψυχῆς, ἐν ἑαυτοῖς κεκτημένα τὴν τῆς μεταβολῆς αἰτίαν,
of-soul in themselves having-acquired the of-the change cause
μεταβάλλοντα δὲ φέρεται κατὰ τὴν τῆς εἱμαρμένης
changing and they-are-carried according-to the of-the destiny

τάξιν καὶ νόμον· σμικρότερα μὲν τῶν ἠθῶν μεταβάλλοντα
order and law smaller indeed of-the characters changing
ἐλάττω κατὰ τὸ τῆς χώρας ἐπίπεδον μεταπορεύεται,
less along the of-the land surface travel
πλείω δὲ καὶ ἀδικώτερα μεταπεσόντα, εἰς βάθος τά τε
more and also more-unjust having-fallen into depth the both
κάτω λεγόμενα τῶν τόπων, ὅσα Ἅιδην τε καὶ τὰ τούτων
below being-called of-the places which Hades both and the of-these
ἐχόμενα τῶν ὀνομάτων ἐπονομάζοντες σφόδρα φοβοῦνται
adjoining of-the names naming greatly they-fear
καὶ ὀνειροπολοῦσιν ζῶντες διαλυθέντες τε τῶν σωμάτων.
and dream living having-been-dissolved and from-the bodies
μείζω δὲ δὴ ψυχὴ κακίας ἢ ἀρετῆς ὁπόταν μεταλάβῃ
greater but indeed soul of-vice or of-virtue whenever it-partake
διὰ τὴν αὑτῆς βούλησίν τε καὶ ὁμιλίαν γενομένην
because-of the its-own will both and association having-become
ἰσχυράν, ὁπόταν μὲν ἀρετῇ θείᾳ προσμείξασα γίγνηται
strong whenever indeed to-virtue divine having-mingled it-become
διαφερόντως τοιαύτη, διαφέροντα καὶ μετέβαλεν τόπον ἅγιον
exceptionally such distinctive also it-changed place holy
ὅλον, μετακομισθεῖσα εἰς ἀμείνω τινὰ τόπον ἕτερον· ὅταν
whole having-been-transported into better some place other whenever
δὲ τἀναντία, ἐπὶ τἀναντία μεθιδρύσασα τὸν αὑτῆς βίον.
but the-opposites to the-opposites having-transferred the its-own life

This is the justice of the gods who hold Olympus, and no one escapes it, sinking into the earth or flying to heaven. To the third unbeliever, who thinks the gods can be bought: if they rule, they are like pilots, charioteers, generals, physicians, or shepherds, and none of these betrays his charge for a libation or a gift, as dogs might share the plunder with wolves. The prelude is finished, and the law follows: whoever sees impiety reports it, and the court assesses the penalty.

ATH. αὕτη τοι δίκη ἐστὶ θεῶν οἳ Ὄλυμπον ἔχουσιν,
this you-know justice is of-gods who Olympus hold

ὦ παῖ καὶ νεανίσκε ἀμελεῖσθαι δοκῶν ὑπὸ θεῶν, κακίω 905
O child and young-man to-be-neglected seeming by gods worse
μὲν γιγνόμενον πρὸς τὰς κακίους ψυχάς, ἀμείνω δὲ πρὸς
indeed becoming toward the worse souls better and toward
τὰς ἀμείνους πορευόμενον, ἔν τε ζωῇ καὶ ἐν πᾶσι θανάτοις
the better traveling in both life and in all deaths
πάσχειν τε ἃ προσῆκον δρᾶν ἐστι τοῖς προσφερέσι τοὺς
to-suffer both what fitting to-do is for-the like the
προσφερεῖς καὶ ποιεῖν. ταύτης τῆς δίκης οὔτε σὺ μή ποτε
like and to-do of-this the justice neither you not ever
οὔτε εἰ ἄλλος ἀτυχὴς γενόμενος ἐπεύξηται περιγενέσθαι
nor if other unfortunate having-become will-boast to-prevail-over
θεῶν· ἣν πασῶν δικῶν διαφερόντως ἔταξάν τε οἱ τάξαντες
gods which of-all justices exceptionally ordained both the having-ordained
χρεών τε ἐξευλαβεῖσθαι τὸ παράπαν. οὐ γὰρ ἀμεληθήσῃ
needful and to-beware-of the altogether not for you-will-be-neglected
ποτὲ ὑπ᾽ αὐτῆς· οὐχ οὕτω σμικρὸς ὢν δύσῃ κατὰ
ever by it not so small being you-will-sink down-into
τὸ τῆς γῆς βάθος, οὐδ᾽ ὑψηλὸς γενόμενος εἰς τὸν οὐρανὸν
the of-the earth depth nor high having-become into the heaven

ἀναπτήσῃ, τείσεις δὲ αὐτῶν τὴν προσήκουσαν τιμωρίαν
you-will-fly-up you-will-pay but of-them the fitting penalty
εἴτ' ἐνθάδε μένων εἴτε καὶ ἐν Ἅιδου διαπορευθεὶς εἴτε
whether here remaining or also in of-Hades having-passed-through or
καὶ τούτων εἰς ἀγριώτερον ἔτι διακομισθεὶς τόπον. ὁ αὐτὸς
also than-these into wilder still having-been-carried place the same
δὲ λόγος σοι καὶ περὶ ἐκείνων ἂν εἴη, τῶν οὓς σὺ
and argument for-you also about those — would-be the whom you
κατιδὼν ἐκ σμικρῶν μεγάλους γεγονότας ἀνοσιουργήσαντας
having-seen from small great having-become having-done-unholy-deeds
ἤ τι τοιοῦτον πράξαντας ᾠήθης ἐξ ἀθλίων εὐδαίμονας
or anything such having-done you-thought from wretched happy
γεγονέναι, κᾆτα ὡς ἐν κατόπτροις αὐτῶν ταῖς πράξεσιν
to-have-become and-then as in mirrors of-them the actions
ἡγήσω καθεωρακέναι τὴν πάντων ἀμέλειαν θεῶν, οὐκ εἰδὼς
you-supposed to-have-observed the of-all neglect of-gods not knowing
αὐτῶν τὴν συντέλειαν ὅπῃ ποτὲ τῷ παντὶ συμβάλλεται.
of-them the contribution how ever to-the all it-contributes
c γιγνώσκειν δὲ αὐτήν, ὦ πάντων ἀνδρειότατε, πῶς οὐ
to-know and it O of-all most-courageous how not
δεῖν δοκεῖς; ἥν τις μὴ γιγνώσκων οὐδ' ἂν τύπον
to-be-necessary do-you-think which anyone not knowing not-even — outline
ἴδοι ποτέ, οὐδὲ λόγον συμβάλλεσθαι περὶ βίου δυνατὸς
would-see ever nor account to-contribute about life able
ἂν γένοιτο εἰς εὐδαιμονίαν τε καὶ δυσδαίμονα τύχην.
— would-become toward happiness both and unhappy fortune
ταῦτα εἰ μέν σε πείθει Κλεινίας ὅδε καὶ σύμπασα ἡμῶν
these-things if indeed you persuades Clinias here and all-together our
ἥδε ἡ γερουσία, περὶ θεῶν ὡς οὐκ οἶσθα ὅτι λέγεις, καλῶς
this the council-of-elders about gods that not you-know what you-say well
ἄν σοι θεὸς αὐτὸς συλλαμβάνοι· εἰ δ' ἐπιδεὴς ἔτι λόγου
— for-you god himself would-help if but lacking still argument

τινὸς ἂν εἴης, λεγόντων ἡμῶν πρὸς τὸν τρίτον ἐπάκουε,
some — you-would-be speaking us to the third listen
εἰ νοῦν καὶ ὁπωσοῦν ἔχεις. ὅτι μὲν γὰρ θεοί τ' εἰσὶν καὶ
if sense also in-any-way you-have that indeed for gods both are and
ἀνθρώπων ἐπιμελοῦνται, ἔγωγε οὐ παντάπασιν φαύλως ἂν
of-men care I-for-my-part not altogether poorly —
φαίην ἡμῖν ἀποδεδεῖχθαι· τὸ δὲ παραιτητοὺς αὖ θεοὺς εἶναι
would-say for-us to-have-been-proved the and placable again gods to-be
τοῖσιν ἀδικοῦσι, δεχομένους δῶρα, οὔτε τινὶ συγχωρητέον
to-those doing-wrong receiving gifts neither to-anyone one-must-concede
παντί τ' αὖ κατὰ δύναμιν τρόπῳ ἐλεγκτέον.
in-every and again according-to power way one-must-refute

CLIN. κάλλιστ' εἶπες, ποιῶμέν τε ὡς λέγεις.
βλάβης ἕνεκα τό γε κατὰ φύσιν, πᾶν δὲ τοὐναντίον·
of-harm for-the-sake the at-least according-to nature all but the-opposite
πῶς γὰρ οὐκ εὐεργέτης πᾶς ὃς ἂν οὐσίαν χρημάτων
how for not benefactor everyone who — property of-goods
ὁντινωνοῦν, ἀσύμμετρον οὖσαν καὶ ἀνώμαλον, ὁμαλήν τε
of-whatever-kind disproportionate being and uneven even both

καὶ σύμμετρον ἀπεργάζηται; τοῦτο ἡμῖν χρὴ φάναι καὶ
and proportionate make this to-us one-must to-say also
τὴν τοῦ νομίσματος ἀπεργάζεσθαι δύναμιν, καὶ τὸν ἔμπορον
the of-the coin to-make power and the merchant
ἐπὶ τούτῳ τετάχθαι δεῖ λέγειν. καὶ μισθωτὸς καὶ
for this to-have-been-appointed one-must to-say and hireling and
πανδοκεὺς καὶ ἄλλα, τὰ μὲν εὐσχημονέστερα, τὰ
innkeeper and other-things the(-ones) indeed more-seemly the(-others)
δὲ ἀσχημονέστερα γιγνόμενα, τοῦτό γε πάντα δύναται,
and more-unseemly becoming this at-least all is-able
πᾶσιν ἐπικουρίαν ταῖς χρείαις ἐξευπορεῖν καὶ ὁμαλότητα ταῖς
for-all help for-the needs to-provide and evenness for-the
οὐσίαις. τί ποτε δὴ τὸ μὴ καλὸν αὐτὸ μηδ' εὔσχημον δοκεῖν
properties what ever indeed the not fine itself nor seemly to-seem
εἶναι, καὶ τί τὸ διαβεβληκὸς τυγχάνει, ἴδωμεν, ἵνα εἰ
to-be and what the having-brought-into-disrepute happens let-us-see so-that if
μὴ καὶ τὸ ὅλον, ἀλλ' οὖν μέρη γε ἐξιασώμεθα νόμῳ. πρᾶγμ'
not also the whole but then parts at-least we-may-cure by-law a-matter
ἔσθ', ὡς ἔοικεν, οὐ φαῦλον, οὐδὲ σμικρᾶς δεόμενον ἀρετῆς.
it-is as it-seems not trivial nor small needing virtue

CLIN. πῶς λέγεις;
how do-you-mean

ATH. ὦ φίλε Κλεινία, σμικρὸν γένος ἀνθρώπων καὶ φύσει d
O dear Clinias small kind of-men and by-nature
ὀλίγον καὶ ἄκρᾳ τροφῇ τεθραμμένον, ὅταν εἰς χρείας
few and with-highest nurture reared whenever into needs
τε καὶ ἐπιθυμίας τινῶν ἐμπίπτῃ, καρτερεῖν πρὸς τὸ
both and desires of-some it-fall to-hold-out toward the
μέτριον δυνατόν ἐστιν, καὶ ὅταν ἐξῇ χρήματα
moderate able is and whenever it-be-permitted money
λαβεῖν πολλά, νήφει καὶ πρότερον αἱρεῖται τοῦ πολλοῦ
to-take much is-sober and before chooses than-the much

τὸ τοῦ μέτρου ἐχόμενον· τὰ δὲ τῶν ἀνθρώπων πλήθη πᾶν
the of-the measure holding the but of-the men multitudes all
τοὐναντίον ἔχει τούτοις, δεόμενά τε ἀμέτρως δεῖται καὶ
the-opposite have to-these needing both immoderately need and
ἐξὸν κερδαίνειν τὰ μέτρια, ἀπλήστως αἱρεῖται
it-being-permitted to-gain the moderate-things insatiably choose
κερδαίνειν, διὸ πάντα τὰ περὶ τὴν καπηλείαν καὶ
to-gain wherefore all the about the retail-trade and
ἐμπορίαν καὶ πανδοκείαν γένη διαβέβληταί τε καὶ
commerce and innkeeping kinds have-been-brought-into-disrepute both and
ἐν αἰσχροῖς γέγονεν ὀνείδεσιν. ἐπεὶ εἴ τις, ὃ μή ποτε
in shameful have-become reproaches since if anyone what not ever
γένοιτο οὐδ' ἔσται, προσαναγκάσειεν — γελοῖον μὲν
may-it-happen nor will-be should-compel ridiculous indeed
εἰπεῖν, ὅμως δὲ εἰρήσεται — πανδοκεῦσαι τοὺς πανταχῇ
to-say nevertheless but it-shall-be-said to-keep-inns the everywhere
ἀρίστους ἄνδρας ἐπί τινα χρόνον, ἢ καπηλεύειν ἤ τι
best men for some time or to-trade-retail or anything
τῶν τοιούτων πράττειν, ἢ καὶ γυναῖκας ἔκ τινος ἀνάγκης
of-the such to-do or also women from some necessity
εἱμαρμένης τοῦ τοιούτου μετασχεῖν τρόπου, γνοίημεν ἂν
destined of-the such to-partake way we-would-know —
ὡς φίλον καὶ ἀγαπητόν ἐστιν ἕκαστον τούτων, καὶ εἰ
how dear and beloved is each of-these and if
κατὰ λόγον ἀδιάφθορον γίγνοιτο, ἐν μητρὸς ἂν
according-to reason uncorrupted it-should-come-about in of-mother —
καὶ τροφοῦ σχήματι τιμῷτο τὰ τοιαῦτα πάντα·
and of-nurse fashion would-be-honored the such-things all

An innkeeper who shelters travelers and then ransoms them like captives earns the trade its bad name. The remedy: as few retailers as possible, only resident aliens and foreigners, and penalties for a citizen who joins them. Law-guardians fix fair margins of profit. Breach of contract goes to the tribal courts. The craftsmen are sacred to Hephaestus and Athena, the warriors to Ares and Athena; a craftsman who fails to finish a work pays its value and finishes it, and a customer who withholds wages pays double, with interest.

ATH. νῦν δὲ ὁπόταν εἰς ἐρήμους τις καπηλείας ἕνεκα 919
now but whenever into deserted anyone of-retail-trade for-the-sake
τόπους καὶ πανταχόσε μήκη ἔχοντας ὁδῶν ἱδρυσάμενος
places and in-every-direction lengths having of-roads having-set-up
οἰκήσεις, ἐν ἀπορίᾳ γιγνομένους καταλύσεσιν ἀγαπηταῖς
dwellings in difficulty being with-lodgings welcome
δεχόμενος ἢ ὑπὸ χειμώνων ἀγρίων βίᾳ ἐλαυνομένους,
receiving or by storms wild by-force driven
εὐδιεινὴν γαλήνην παρασχὼν ἢ πνίγεσιν ἀναψυχήν, τὰ
fair-weather calm having-provided or in-stifling-heats refreshment the
μετὰ ταῦτα οὐχ ὡς ἑταίρους δεξάμενος φιλικὰ παράσχῃ
after these-things not as companions having-received friendly provide
ξένια ἑπόμενα ταῖς ὑποδοχαῖς, ὡς δ' ἐχθροὺς αἰχμαλώτους
hospitality following the receptions as but enemies captives
κεχειρωμένους ἀπολυτρώσῃ τῶν μακροτάτων καὶ ἀδίκων
having-been-subdued he-ransom for-the largest and unjust
καὶ ἀκαθάρτων λύτρων, ταῦτά ἐστιν καὶ τὰ τοιαῦτα
and impure ransoms these-things are and the such-things
ἐν σύμπασιν τοῖς τοιούτοις ὀρθῶς ἁμαρτανόμενα τὰς
in all the such rightly erred-in the
διαβολὰς τῇ τῆς ἀπορίας ἐπικουρήσει παρεσκευακότα.
slanders for-the of-the difficulty help having-prepared

τούτων οὖν χρὴ φάρμακον ἀεὶ τέμνειν τὸν νομοθέτην.
of-these then one-must remedy always to-cut the lawgiver
ὀρθὸν μὲν δὴ πάλαι τε εἰρημένον ὡς πρὸς δύο
right indeed indeed long-ago both said that toward two
μάχεσθαι καὶ ἐναντία χαλεπόν, καθάπερ ἐν ταῖς νόσοις
to-fight and opposites hard as in the diseases
πολλοῖς τε ἄλλοισιν· καὶ δὴ καὶ νῦν ἡ τούτων καὶ περὶ
many both others and indeed also now the of-these and about
ταῦτα ἐστὶν πρὸς δύο μάχη, πενίαν καὶ πλοῦτον, τὸν
these-things is toward two battle poverty and wealth the(-one)
μὲν ψυχὴν διεφθαρκότα τρυφῇ τῶν ἀνθρώπων, τὴν
indeed soul having-corrupted with-luxury of-the men the(-other)
δὲ λύπαις προτετραμμένην εἰς ἀναισχυντίαν αὐτήν.
and by-pains having-been-turned toward shamelessness it
d τίς οὖν δὴ τῆς νόσου ταύτης ἀρωγὴ γίγνοιτ' ἂν
what then indeed of-the disease this aid would-become —
ἐν νοῦν ἐχούσῃ πόλει; πρῶτον μὲν ὅτι σμικροτάτῳ
in sense having city first indeed that smallest
χρῆσθαι κατὰ δύναμιν τῷ τῶν καπήλων γένει, ἔπειτα
to-use according-to power the of-the retail-traders kind then
τούτοις τῶν ἀνθρώπων προστάττειν ὧν διαφθειρομένων
to-these of-the men to-assign whom being-corrupted
οὐκ ἂν γίγνοιτο μεγάλη λύμη τῇ πόλει, τρίτον δὲ
not — would-come-about great harm to-the city third and
αὐτοῖς τοῖς μετασχοῦσι τούτων τῶν ἐπιτηδευμάτων εὑρεῖν
for-them the having-partaken of-these the practices to-find
μηχανὴν ὅπως ἤθη μὴ ἀνέδην ἀναισχυντίας τε καὶ
device how characters not unrestrainedly of-shamelessness both and
ἀνελευθέρου ψυχῆς μέτοχα συμβήσεται γίγνεσθαι ῥᾳδίως.
of-illiberal soul partaking will-happen to-become easily
μετὰ δὴ τὰ νῦν εἰρημένα, περὶ ταῦτα νόμος ἀγαθῇ τύχῃ
after indeed the now said-things about these-things law with-good fortune

τοιόσδε ἡμῖν γιγνέσθω· Μαγνήτων, οὓς ὁ θεὸς ἀνορθῶν
such for-us let-be of-the-Magnesians whom the god restoring
πάλιν κατοικίζει, γεωμόροι ὅσοι τῶν τετταράκοντα καὶ
again settles landholders as-many-as of-the forty and
πεντακισχιλίων ἑστιῶν εἰσιν, μήτε κάπηλος ἑκὼν μηδ'
five-thousand hearths are neither retail-trader willing nor
ἄκων μηδεὶς γιγνέσθω μηδ' ἔμπορος μήτε διακονίαν μηδ'
unwilling no-one let-become nor merchant nor service nor
ἥντινα κεκτημένος ἰδιώταις τοῖς μὴ ἐξ ἴσου ἑαυτῷ,
any having-acquired for-private-persons the not on equal-terms with-himself
πλὴν πατρὶ καὶ μητρὶ καὶ τοῖς ἔτι τούτων εἰς τὸ ἄνω
except for-father and mother and for-the still of-these toward the upward
γένεσιν καὶ πᾶσι τοῖς αὑτοῦ πρεσβυτέροις, ὅσοι ἐλεύθεροι
generation and for-all the his-own elders as-many-as free
ἐλευθέρως. τὸ δ' ἐλευθερικὸν καὶ ἀνελεύθερον ἀκριβῶς μὲν
freely the and liberal and illiberal precisely indeed
οὐ ῥᾴδιον νομοθετεῖν, κρινέσθω γε μὴν ὑπὸ τῶν τὰ
not easy to-legislate let-it-be-judged at-least indeed by the the
ἀριστεῖα εἰληφότων τῷ ἐκείνων μίσει τε καὶ ἀσπασμῷ.
prizes having-received by-the of-those hatred both and affection
ὃς δ' ἂν καπηλείας τῆς ἀνελευθέρου τέχνῃ τινὶ μετάσχῃ, 920
whoever and — of-retail-trade the illiberal by-art some partake
γραφέσθω μὲν αὐτὸν γένους αἰσχύνης ὁ βουλόμενος πρὸς
let-indict indeed him of-kind of-shame the wishing before
τοὺς ἀρετῇ πρώτους κεκριμένους, ἐὰν δὲ δόξῃ ἀναξίῳ
the in-virtue first judged if and he-seem by-unworthy
ἐπιτηδεύματι καταρρυπαίνειν τὴν αὑτοῦ πατρῴαν ἑστίαν,
practice to-defile the his-own ancestral hearth
δεθεὶς ἐνιαυτὸν ἀποσχέσθω τοῦ τοιούτου, καὶ ἐὰν
having-been-bound for-a-year let-him-abstain-from the such and if
αὖθις, ἔτη δύο, καὶ ἐφ' ἑκάστης ἁλώσεως τοὺς δεσμοὺς
again years two and on each conviction the bonds

μὴ παυέσθω διπλασιάζων τὸν ἔμπροσθεν χρόνον. δεύτερος
not let-him-cease doubling the previous time second
μὴν νόμος· Μέτοικον εἶναι χρεὼν ἢ ξένον, ὃς ἂν μέλλῃ
indeed law Resident-alien to-be needful or foreigner whoever — be-going
καπηλεύσειν· τὸ δὲ τρίτον καὶ τρίτος· ὅπως ὡς ἄριστος
to-trade-retail the and third and third how as best
ἢ καὶ κακὸς ὡς ἥκιστα ὁ τοιοῦτος ἡμῖν ᾖ σύνοικος ἐν τῇ
or also bad as least the such for-us be fellow-dweller in the
πόλει, τοὺς νομοφύλακας χρὴ νοῆσαι φύλακας εἶναι μὴ
city the law-guardians one-must to-consider guardians to-be not
μόνον ἐκείνων οὓς φυλάττειν ῥᾴδιον μὴ παρανόμους καὶ
only of-those whom to-guard easy not lawless and
κακοὺς γίγνεσθαι, ὅσοι γενέσει καὶ τροφαῖς εὖ πεπαίδευνται,
bad to-become who by-birth and by-nurture well have-been-educated
τοὺς δὲ μὴ τοιούτους ἐπιτηδεύματά τε ἐπιτηδεύοντας ἃ
the but not such practices both practicing which
ῥοπὴν ἔχει τινὰ ἰσχυρὰν πρὸς τὸ προτρέπειν κακοὺς
inclination has some strong toward the to-impel bad
γίγνεσθαι, φυλακτέον μᾶλλον. ταύτῃ δὴ τὰ περὶ τὴν
to-become one-must-guard more in-this-way indeed the about the
καπηλείαν πολλὴν οὖσαν καὶ πολλὰ ἐπιτηδεύματα τοιαῦτα
retail-trade much being and many practices such
κεκτημένην, ὅσαπερ ἂν αὐτῶν λειφθῇ δόξαντα ἐκ πολλῆς
having-acquired as-many-as — of-them be-left having-seemed from much
ἀνάγκης ἐν τῇ πόλει δεῖν εἶναι, συνελθεῖν αὖ χρεὼν
necessity in the city to-be-necessary to-be to-come-together again needful
περὶ ταῦτα τοὺς νομοφύλακας μετὰ τῶν ἐμπείρων ἑκάστης
about these-things the law-guardians with the experienced of-each
καπηλείας, καθάπερ ἔμπροσθεν ἐπετάξαμεν τῆς κιβδηλείας
retail-trade as before we-ordained of-the adulteration
πέρι, συγγενοῦς τούτῳ πράγματος, συνελθόντας δὲ ἰδεῖν
about akin to-this matter having-come-together and to-see

λῆμμά τε καὶ ἀνάλωμα τί ποτε τῷ καπήλῳ κέρδος ποιεῖ
income both and expenditure what ever for-the retail-trader profit makes
τὸ μέτριον, γράψαντας δὲ θεῖναι τὸ γιγνόμενον ἀνάλωμα
the moderate having-written and to-set the arising expenditure
καὶ λῆμμα καὶ φυλάττειν, τὰ μὲν ἀγορανόμους, τὰ
and income and to-guard the(-ones) indeed market-wardens the(-others)
δὲ ἀστυνόμους, τὰ δὲ ἀγρονόμους· καὶ σχεδὸν οὕτως
and town-wardens the(-others) and country-wardens and nearly so
ἂν καπηλεία τὰ μὲν ὠφελοῖ ἑκάστους, σμικρότατα
— retail-trade the(-ones) indeed would-benefit each least
δὲ ἂν βλάπτοι τοὺς ἐν ταῖς πόλεσι χρωμένους.
and — would-harm the in the cities using
ὅσα τις ἂν ὁμολογῶν συνθέσθαι μὴ ποιῇ κατὰ τὰς d
whatever anyone — agreeing to-contract not do according-to the
ὁμολογίας, πλὴν ὧν ἂν νόμοι ἀπείργωσιν ἢ ψήφισμα,
agreements except what — laws prevent or decree
ἤ τινος ὑπὸ ἀδίκου βιασθεὶς ἀνάγκης ὁμολογήσῃ, καὶ ἐὰν
or of-some by unjust being-forced necessity agree and if
ἀπὸ τύχης ἀπροσδοκήτου τις ἄκων κωλυθῇ, δίκας εἶναι
from chance unexpected anyone unwilling be-prevented suits to-be
τῶν ἄλλων ἀτελοῦς ὁμολογίας ἐν ταῖς φυλετικαῖσιν δίκαις,
of-the other of-unfulfilled agreement in the tribal suits
ἐὰν ἐν διαιτηταῖς ἢ γείτοσιν ἔμπροσθεν μὴ δύνωνται
if among arbitrators or neighbors before not they-be-able
διαλλάττεσθαι. Ἡφαίστου καὶ Ἀθηνᾶς ἱερὸν τὸ τῶν
to-be-reconciled of-Hephaestus and of-Athena sacred the of-the
δημιουργῶν γένος, οἳ τὸν βίον ἡμῖν συγκατεσκευάκασιν
craftsmen kind who the life for-us have-helped-build
τέχναις, Ἄρεως δ' αὖ καὶ Ἀθηνᾶς οἱ τὰ τῶν δημιουργῶν
by-arts of-Ares and again and of-Athena the the of-the craftsmen
σῴζοντες τέχναισιν ἑτέραις ἀμυντηρίοις ἔργα· δικαίως δὲ
preserving by-arts other defensive works justly and

καὶ τὸ τούτων γένος ἱερόν ἐστι τούτων τῶν θεῶν. οὗτοι
also the of-these kind sacred is of-these the gods these
δὴ πάντες χώραν καὶ δῆμον θεραπεύοντες διατελοῦσιν,
indeed all country and people serving continue
οἱ μὲν ἄρχοντες τῶν κατὰ πόλεμον ἀγώνων, οἱ
the(-ones) indeed leading of-the in war contests the(-others)
δὲ ὀργάνων τε καὶ ἔργων ἀποτελοῦντες γένεσιν ἔμμισθον·
and of-tools both and of-works completing production for-hire
921 οἷς δὴ περὶ τὰ τοιαῦτα οὐ πρέπον ἂν εἴη ψεύδεσθαι,
for-whom indeed about the such-things not fitting — would-be to-lie
θεοὺς προγόνους αὑτῶν αἰδουμένους. ἂν δή τις
gods forefathers of-themselves respecting if indeed anyone
δημιουργῶν εἰς χρόνον εἰρημένον ἔργον μὴ ἀποτελέσῃ
of-craftsmen within time stated work not complete
διὰ κάκην, μηδὲν τὸν βιοδότην θεὸν ἐπαιδεσθείς,
because-of baseness not-at-all the life-giving god having-revered
ἡγούμενος ὡς οἰκεῖον συγγνώμονα εἶναι θεόν, οὐδὲν τῷ
thinking as his-own forgiving to-be god nothing with-the
νῷ βλέπων, πρῶτον μὲν δίκην τῷ θεῷ ὑφέξει, δεύτερον
mind seeing first indeed penalty to-the god will-render second
δὲ ἑπόμενος αὐτῷ νόμος κείσθω· τὴν τιμὴν τῶν ἔργων
and following it law let-be-laid-down the price of-the works
ὀφειλέτω ὧν ἂν τὸν ἐκδόντα ψεύσηται καὶ πάλιν ἐξ
let-him-owe of-which — the commissioner he-cheat and again from
ἀρχῆς ἐν τῷ ῥηθέντι χρόνῳ προῖκα ἐξεργαζέσθω. καὶ
beginning in the stated time free let-him-execute and
ἀναιρουμένῳ δ' ἔργον συμβουλευτὴς νόμος, ἅπερ
to-the-one-undertaking and work adviser law the-very-things-which
τῷ πωλοῦντι συνεβούλευεν, μὴ πλέονος τιμᾶν διαπειρώμενον
to-the seller it-advised not more to-price trying
ἀλλ' ὡς ἁπλούστατα τῆς ἀξίας, ταὐτὸν δὴ προστάττει
but as most-simply of-the worth the-same indeed it-orders

καὶ τῷ ἀναιρουμένῳ — γιγνώσκει γὰρ ὅ γε δημιουργὸς
also to-the undertaking knows for the at-least craftsman
τὴν ἀξίαν — ἐν ἐλευθέρων οὖν πόλεσιν οὐ δή ποτε χρὴ
the worth in free then cities not indeed ever one-must
τέχνῃ, σαφεῖ τε καὶ ἀψευδεῖ φύσει πράγματι, διαπειρᾶσθαι
by-art clear both and unlying by-nature thing to-make-trial-of
τῶν ἰδιωτῶν τεχνάζοντα αὐτὸν τὸν δημιουργόν, δίκας
the private-persons contriving himself the craftsman suits
δὲ εἶναι τούτων τῷ ἀδικουμένῳ πρὸς τὸν ἀδικοῦντα.
and to-be of-these for-the wronged against the wrongdoer
ἐὰν δέ τις ἐκδοὺς αὖ δημιουργῷ μὴ ἀποδῷ τοὺς c
if and anyone having-commissioned again craftsman not pay the
μισθοὺς ὀρθῶς κατὰ τὴν ἔννομον ὁμολογίαν γενομένην,
wages rightly according-to the lawful agreement having-been-made
Δία δὲ πολιοῦχον καὶ Ἀθηνᾶν κοινωνοὺς πολιτείας
Zeus and city-guardian and Athena partners of-the-constitution
ἀτιμάζων, βραχὺ κέρδος ἀγαπῶν, λύῃ μεγάλας κοινωνίας,
dishonoring brief profit loving dissolve great partnerships
νόμος ὁ βοηθῶν ἔστω τῷ τῆς πόλεως συνδέσμῳ
law the helping let-be to-the of-the city bond
μετὰ θεῶν· ὃς γὰρ ἂν προαμειψάμενος ἔργον μισθοὺς
with gods who for — having-received-first work wages
μὴ ἀποδιδῷ ἐν χρόνοις τοῖς ὁμολογηθεῖσιν, διπλοῦν
not pay in times the agreed double
πραττέσθω· ἐὰν δὲ ἐνιαυτὸς ἐξέλθῃ, τῶν ἄλλων ἀτόκων
let-him-be-made-to-pay if but a-year pass of-the other interest-free
ὄντων χρημάτων, ὁπόσα δανεισμῷ συμβάλλει τις, οὗτος
being monies as-many-as by-lending contracts anyone this-one
τῇ δραχμῇ ἑκάστου μηνὸς ἐπωβελίαν κατατιθέτω, δίκας
on-the drachma each month an-obol-surcharge let-him-pay suits
δὲ εἶναι τούτων ἐν τοῖς κατὰ φυλὰς δικαστηρίοις.
and to-be of-these in the by tribes courts

e ὡς δὲ ἐν παρέργῳ περὶ τῶν κατὰ πόλεμον δημιουργῶν
as and in by-the-way about the in war craftsmen
ὄντων σωτηρίας, στρατηγῶν τε καὶ ὅσοι περὶ ταῦτα
being of-safety generals both and as-many-as about these-things
τεχνικοί, δίκαιον εἰπεῖν, ὅτι τὸ παράπαν ἐμνήσθημεν
skilled just to-say that the altogether we-mentioned
δημιουργῶν· ὃς τούτοις αὖ, καθάπερ ἐκείνοις, οἷον
craftsmen who for-these again as for-those as
ἑτέροις οὖσιν δημιουργοῖς. ἐάν τις ἄρα καὶ τούτων
for-others being craftsmen if anyone then also of-these
ἀνελόμενος δημόσιον ἔργον εἴθ' ἑκὼν εἴτε προσταχθὲν
having-undertaken public work whether willing or ordered
καλῶς ἐξεργάσηται, τὰς τιμάς, οἳ δὴ μισθοὶ πολεμικοῖς
finely execute the honors which indeed wages for-warlike
ἀνδράσιν εἰσίν, ἀποδιδῷ δικαίως, ὁ νόμος αὐτὸν ἐπαινῶν
men are pay justly the law him praising
οὔποτε καμεῖται·
never will-grow-weary

IV · WILLS AND HEIRS

The good men who save the city in war take the second honor, after those who best honor the lawgivers' writings. The dying man belongs to his family and city, not to himself. A father names one son as heir; the others may be given for adoption or sent to colonies, daughters are betrothed, and a childless man adopts a son. When a man dies without a will, the nearest kin are guardians, and fifteen elder law-guardians oversee the orphans.

922 ATH. ἐὰν δὲ προαμειψάμενος ἔργον τι τῶν κατὰ πόλεμον
if but having-received-first work some of-the in war
καλῶν ἔργων μὴ ἀποδιδῷ, μέμψεται. νόμος οὖν οὗτος ἐπαίνῳ
fine works not pay it-will-blame law then this with-praise

περὶ τούτων ἡμῖν μεμειγμένος κείσθω, συμβουλευτικός,
about these-things for-us mixed let-be-laid-down advisory
οὐ βιαστικός, τῷ πλήθει τῶν πολιτῶν, τιμᾶν τοὺς ἀγαθοὺς
not compulsory for-the multitude of-the citizens to-honor the good
ἄνδρας, ὅσοι σωτῆρες τῆς πόλεώς εἰσι συμπάσης εἴτε
men as-many-as saviors of-the city are all whether
ἀνδρείαις εἴτε πολεμικαῖς μηχαναῖς, δευτέρους· πρώτοις
by-acts-of-courage or by-warlike devices second to-the-first
γὰρ τὸ μέγιστον γέρας δεδόσθω τοῖς τὰ τῶν ἀγαθῶν
for the greatest prize let-be-given to-those the of-the good
νομοθετῶν γράμματα τιμᾶν διαφερόντως δυνηθεῖσιν.
lawgivers writings to-honor exceptionally having-been-able
τὰ μὲν δὴ μέγιστα τῶν συμβολαίων, ὅσα πρὸς b
the(-things) indeed indeed greatest of-the contracts as-many-as toward
ἀλλήλους ἄνθρωποι συμβάλλουσιν, πλήν γε ὀρφανικῶν καὶ
one-another men contract except at-least of-orphans and
τῆς τῶν ἐπιτρόπων ἐπιμελείας τῶν ὀρφανῶν, σχεδὸν ἡμῖν
of-the of-the guardians care of-the orphans nearly for-us
διατέτακται· ταῦτα δὲ δὴ μετὰ τὰ νῦν εἰρημένα ἀναγκαῖον
have-been-arranged these-things and indeed after the now said-things necessary
ἁμῶς γέ πως τάξασθαι. τούτων δὲ ἀρχαὶ πάντων
somehow at-least in-some-way to-arrange of-these and beginnings of-all
αἵ τε τῶν τελευτᾶν μελλόντων ἐπιθυμίαι τῆς διαθέσεως αἵ
the both of-the to-die being-about desires of-the disposition the
τε τῶν μηδὲν τὸ παράπαν διαθεμένων τύχαι· ἀναγκαῖον δὲ
both of-the nothing the altogether having-disposed fortunes necessary and
εἶπον, ὦ Κλεινία, βλέψας αὐτῶν πέρι πρός τε τὸ δύσκολον
I-said O Clinias having-looked them about toward both the difficult
καὶ χαλεπόν. οὐδὲ γὰρ ἄτακτον δυνατόν ἐστ᾽ αὐτὸ ἐᾶν·
and hard not-even for disordered possible is it to-leave
πολλὰ γὰρ ἕκαστοι καὶ διάφορα ἀλλήλων καὶ ἐναντία
many for each also differing from-one-another and opposite

τιθεῖντ' ἂν τοῖς τε νόμοις καὶ τοῖς τῶν ζώντων ἤθεσιν
would-set — to-the both laws and to-the of-the living characters
καὶ τοῖς αὑτῶν τοῖς ἔμπροσθεν πρὶν διατίθεσθαι μέλλειν,
and to-the their-own the former before to-dispose to-be-about
εἴ τις ἐξουσίαν δώσει ἁπλῶς οὕτως κυρίαν εἶναι διαθήκην
if anyone license will-give simply so valid to-be will
ἣν ἄν τις διαθῆται ὁπωσοῦν ἔχων πρὸς τῷ τοῦ βίου
which — anyone dispose in-whatever-way being at the of-the life
τέλει. ἀνοήτως γὰρ δὴ καὶ διατεθρυμμένως τινὰ τρόπον
end foolishly for indeed and in-enfeebled-fashion some way
ἔχομεν οἱ πλεῖστοι, ὅταν ἤδη μέλλειν ἡγώμεθα τελευτᾶν.
we-are the most whenever already to-be-about we-think to-die

CLIN. πῶς τοῦτο, ὦ ξένε, λέγεις;
how this O stranger do-you-mean

ATH. χαλεπόν ἐστ', ὦ Κλεινία, μέλλων ἄνθρωπος τελευτήσειν,
hard is O Clinias being-about man to-die
καὶ μεστὸν λόγου τοῖς νομοθέταις εὖ μάλα φοβεροῦ καὶ
and full of-speech for-the lawgivers very much fearful and
δυσχεροῦς.
troublesome

CLIN. πῇ;
how

d ATH. ζητῶν εἶναι κύριος ἁπάντων, εἴωθε μετ' ὀργῆς
seeking to-be master of-all is-accustomed with anger
λέγειν.
to-say

CLIN. ποῖα δή;
what-sort indeed

ATH. δεινόν γε, ὦ θεοί, φησίν, εἰ τὰ ἐμὰ ἐμοὶ μηδαμῶς
terrible at-least O gods he-says if the my to-me in-no-way
ἐξέσται δοῦναί τε ὅτῳ ἂν ἐθέλω καὶ μή, καὶ
it-will-be-permitted to-give both to-whomever — I-wish and not and

τῷ μὲν πλείω, τῷ δ' ἐλάττονα, τῶν ὁπόσοι
to-the(-one) indeed more to-the(-other) and less of-the as-many-as
περὶ ἐμὲ φαῦλοι καὶ ὅσοι ἀγαθοὶ γεγόνασιν φανερῶς,
toward me bad and as-many-as good have-been manifestly
βασανισθέντες ἱκανῶς ἐν νόσοις, οἱ δ' ἐν γήρᾳ καὶ
having-been-tested sufficiently in diseases the(-ones) and in old-age and
ἄλλαις παντοίαισι τύχαις.
in-other all-kinds-of fortunes

CLIN. οὐκοῦν, ὦ ξένε, καλῶς δοκοῦσίν σοι λέγειν;
therefore O stranger finely do-they-seem to-you to-speak

ATH. μαλθακοὶ ἔμοιγ', ὦ Κλεινία, δοκοῦσιν οἱ πάλαι e
soft to-me-at-least O Clinias seem the long-ago
νομοθετοῦντες γεγονέναι καὶ ἐπὶ σμικρὸν τῶν ἀνθρωπίνων
legislating to-have-been and on small of-the human
πραγμάτων βλέποντές τε καὶ διανοούμενοι νομοθετεῖν.
affairs looking both and thinking to-legislate

CLIN. πῶς λέγεις;
how do-you-mean

ATH. τὸν λόγον τοῦτον, ὠγαθέ, φοβούμενοι, τὸν νόμον 923
the argument this my-good-man fearing the law
ἐτίθεσαν τὸν ἐξεῖναι τὰ ἑαυτοῦ διατίθεσθαι ἁπλῶς ὅπως
they-set the to-be-permitted the his-own to-dispose simply however
ἄν τις ἐθέλῃ τὸ παράπαν, ἐγὼ δὲ καὶ σὺ τοῖς ἐν τῇ
— anyone wish the altogether I but and you to-the in the
σῇ πόλει μέλλουσι τελευτᾶν ἀποκρινούμεθα ἐμμελέστερόν
your city being-about to-die will-answer more-harmoniously
πως. ὦ φίλοι, φήσομεν, καὶ ἀτεχνῶς ἐφήμεροι, χαλεπὸν
somehow O friends we-shall-say and simply ephemeral hard
ὑμῖν ἐστιν γιγνώσκειν τὰ ὑμέτερ' αὐτῶν χρήματα καὶ
for-you is to-know the your-own of-yourselves possessions and
πρός γε ὑμᾶς αὐτούς, ὥσπερ καὶ τὸ τῆς Πυθίας
besides at-least you yourselves as also the of-the Pythia

γράμμα φράζει, τὰ νῦν. ἔγωγ' οὖν νομοθέτης ὢν οὔθ'
inscription declares the now I-for-my-part then lawgiver being neither
ὑμᾶς ὑμῶν αὐτῶν εἶναι τίθημι οὔτε τὴν οὐσίαν ταύτην,
you of-you yourselves to-be lay-down nor the property this
σύμπαντος δὲ τοῦ γένους ὑμῶν τοῦ τε ἔμπροσθεν καὶ
of-all but the family your of-the both former and
τοῦ ἔπειτα ἐσομένου, καὶ ἔτι μᾶλλον τῆς πόλεως εἶναι τό
of-the hereafter going-to-be and still more of-the city to-be the
τε γένος πᾶν καὶ τὴν οὐσίαν· καὶ οὕτω τούτων ἐχόντων,
both family all and the property and so these-things being
οὐκ, ἐάν τις ὑμᾶς θωπείαις ὑποδραμὼν ἐν νόσοις ἢ
not if anyone you with-flatteries having-crept-in in diseases or
γήρᾳ σαλεύοντας παρὰ τὸ βέλτιστον διατίθεσθαι πείθῃ,
old-age tossing contrary-to the best to-dispose persuade
συγχωρήσομαι ἑκών, ὅτι δὲ τῇ πόλει τε ἄριστον πάσῃ
I-shall-allow willingly what but for-the city both best all
καὶ γένει, πρὸς πᾶν τοῦτο βλέπων νομοθετήσω, τὸ ἑνὸς
and for-family toward all this looking I-shall-legislate the of-one
ἑκάστου κατατιθεὶς ἐν μοίραις ἐλάττοσι δικαίως.
each placing in portions lesser justly
c ὑμεῖς δὲ ἡμῖν ἵλεῳ τε καὶ εὐμενεῖς ὄντες πορεύοισθε
you and to-us propitious both and well-disposed being may-you-go
ᾗπερ κατὰ φύσιν νῦν πορεύεσθε τὴν ἀνθρωπίνην·
the-way-which according-to nature now you-go the human
ἡμῖν δὲ περὶ τῶν ἄλλων τῶν ὑμετέρων μελήσει,
for-us and about the other-things the your will-be-a-care
κηδομένοις ὅτι μάλιστα εἰς δύναμιν, οὐ τῶν μέν, τῶν
caring as most to power not the(-ones) indeed the(-others)
δὲ οὔ. ταῦτα μὲν οὖν παραμύθιά τε καὶ προοίμια τῶν
and not these-things indeed then consolations both and preludes of-the
τε ζώντων, ὦ Κλεινία, καὶ τῶν τελευτώντων ἔστω, νόμος
both living O Clinias and of-the dying let-be law

δὲ ὅδε· ὃς ἂν διαθήκην γράφῃ τὰ αὑτοῦ διατιθέμενος,
and this-here whoever — will write the his-own disposing
παίδων ὢν πατήρ, πρῶτον μὲν τῶν υἱέων κληρονόμον
of-children being father first indeed of-the sons heir
ὃν ἂν ἀξιώσῃ γίγνεσθαι γραφέτω, τῶν δὲ ἄλλων
whomever — he-deem to-be let-him-write of-the and other
παίδων, ὃν ἂν μὲν ἑτέρῳ ποιεῖσθαι διδῷ δεχομένῳ,
children whom — indeed to-another to-be-adopted he-give receiving
γραφέσθω τοῦτο αὐτό· ἐὰν δὲ περιγίγνηταί τις τῶν υἱέων
let-be-written this itself if but be-left-over any of-the sons
αὐτῷ μὴ ἐπί τινι κλήρῳ πεποιημένος, ὃν κατὰ νόμον
to-him not on some lot having-been-adopted whom according-to law
ἐλπὶς εἰς ἀποικίαν ἐκπεμφθήσεσθαι, τούτῳ τῶν ἄλλων
hope to colony to-be-sent-out to-this-one of-the other
χρημάτων ἐξέστω τῷ πατρὶ διδόναι ὅσα ἂν ἐθέλῃ,
possessions let-it-be-permitted to-the father to-give as-many-as — he-wish
πλὴν τοῦ πατρῴου κλήρου καὶ τῆς περὶ τὸν κλῆρον
except the ancestral lot and of-the about the lot
κατασκευῆς πάσης, καὶ ἐὰν πλείους ὦσιν, πρὸς μέρος ὁ
equipment all and if more they-be toward share the
πατὴρ ὅπῃ ἂν ἐθέλῃ νεμέτω τὰ περιόντα τοῦ κλήρου.
father however — he-wish let-him-distribute the surplus of-the lot
ὅτῳ δ' ἂν τῶν υἱέων ὑπάρχων οἶκος ᾖ, μὴ νέμειν e
to-whichever and — of-the sons existing household be not to-distribute
τούτῳ τῶν χρημάτων, θυγατρί τε ὡσαύτως, ᾗ μὲν ἂν
to-this-one of-the possessions to-daughter both likewise to-whom indeed —
ἐγγεγυημένος ὡς ἀνὴρ ἐσόμενος ᾖ, μὴ νέμειν, ᾗ δ' ἂν
betrothed as husband going-to-be be not to-distribute to-whom but —
μή, νέμειν· ἐὰν δέ τῳ τῶν υἱέων ἢ καὶ τῶν θυγατέρων
not to-distribute if and to-any of-the sons or also of-the daughters
φανῇ κλῆρος ἐπιχώριος τῆς διαθήκης γενόμενος ὕστερον,
appear lot native of-the will having-come-about later

τῷ κληρονόμῳ τοῦ τὴν διαθήκην διαθεμένου καταλειπέτω.
to-the heir of-the the will having-made let-him-leave
ἐὰν δὲ ἄρρενας μὲν μὴ λείπῃ, θηλείας δέ, ὁ διατιθέμενος,
if but males indeed not he-leave females but the disposing
ἄνδρα μὲν τῶν θυγατέρων ᾧτινι ἂν ἐθέλῃ, υἱὸν δὲ
husband indeed of-the daughters to-whichever — he-wish son and
αὐτῷ καταλειπέτω, γράψας κληρονόμον·
to-himself let-him-leave having-written heir
924 ἐὰν δὲ υἱός τῳ τελευτήσῃ παῖς ὤν, πρὶν εἰς ἄνδρας
if and son to-anyone die child being before into men
δυνατὸς εἶναι τελεῖν, εἴτε γεννητὸς ὢν εἴτε ποιητός,
able to-be to-pass whether begotten being or adopted
γραφέτω καὶ περὶ τῆς τοιαύτης τύχης ὁ τὴν διαθήκην
let-him-write also about the such fortune the the will
γράφων τίνα χρὴ παῖδα αὐτῷ δεύτερον ἐπὶ τύχαις
writing which one-must child to-him second on fortunes
ἀμείνοσιν γίγνεσθαι. ἐὰν δέ τις ἄπαις ὢν τὸ παράπαν
better to-be if and anyone childless being the altogether
διαθήκην γράφῃ, τὸ τῆς ἐπικτήτου δεκατημόριον ἐξελόμενος,
will write the of-the acquired tenth having-taken-out
ἐὰν ἐθέλῃ τῳ δωρεῖσθαι, δωρείσθω· τὰ δὲ ἄλλα
if he-wish to-anyone to-give let-him-give the and other-things
παραδιδοὺς πάντα τῷ ποιηθέντι ἄμεμπτος ἵλεων υἱὸν
handing-over all to-the adopted blameless propitious son
αὐτὸν ποιείσθω σὺν νόμῳ. ᾧ δ' ἂν ἐπιτρόπων οἱ
him let-him-make with law to-whom and — of-guardians the
παῖδες δέωνται, ἐὰν μὲν διαθέμενος τελευτᾷ καὶ γράψας
children need if indeed having-made-a-will he-die and having-written
ἐπιτρόπους τοῖς παισὶν ἑκόντας τε καὶ ὁμολογοῦντας
guardians for-the children willing both and agreeing
ἐπιτροπεύσειν οὑστινασοῦν καὶ ὁπόσους ἂν ἐθέλῃ, κατὰ
to-be-guardians whomever and as-many-as — he-wish according-to

ταῦτα τὰ γραφέντα ἡ τῶν ἐπιτρόπων αἵρεσις γιγνέσθω
these the written the of-the guardians choice let-be
κυρία· ἐὰν δὲ ἢ τὸ παράπαν μὴ διαθέμενος τελευτήσῃ
valid if but either the altogether not having-made-a-will die
τις ἢ τῆς τῶν ἐπιτρόπων αἱρέσεως ἐλλιπής, ἐπιτρόπους
anyone or of-the of-the guardians choice deficient guardians
εἶναι τοὺς ἐγγύτατα γένει πρὸς πατρὸς καὶ μητρὸς
to-be the nearest in-kin on father's and mother's
κυρίους, δύο μὲν πρὸς πατρός, δύο δὲ πρὸς μητρός,
in-control two indeed on father's two and on mother's
ἕνα δ' ἐκ τῶν τοῦ τελευτήσαντος φίλων, τούτους δ' οἱ
one and from the of-the deceased friends these and the
νομοφύλακες καθιστάντων τῷ δεομένῳ τῶν ὀρφανῶν. καὶ
law-guardians let-appoint for-the needing of-the orphans and
πάσης τῆς ἐπιτροπῆς καὶ τῶν ὀρφανῶν πεντεκαίδεκα τῶν
all the guardianship and the orphans fifteen of-the
νομοφυλάκων οἱ πρεσβύτατοι πάντων ἐπιμελείσθων ἀεὶ
law-guardians the oldest of-all let-care-for always
κατὰ πρέσβιν καὶ κατὰ τρεῖς διελόμενοι σφᾶς αὐτούς,
by seniority and by threes having-divided them themselves
κατ' ἐνιαυτὸν τρεῖς καὶ κατ' ἐνιαυτὸν ἄλλον ἕτεροι τρεῖς,
by year three and by year other another three
ἕως ἂν αἱ πέντε περίοδοι γίγνωνται κύκλῳ· καὶ τοῦτο
until — the five cycles become in-a-circle and this
ἐκλιπέτω μηδέποτε κατὰ δύναμιν.
let-lapse never according-to power
ὃς δ' ἂν μηδὲν τὸ παράπαν διαθέμενος ἀποθάνῃ, d
whoever and — nothing the altogether having-made-a-will die
παῖδας μὲν καταλιπὼν δεομένους ἐπιτροπῆς, τῶν αὐτῶν
children indeed having-left needing guardianship of-the same
νόμων τούτων ἡ χρεία τῶν παίδων αὐτοῦ μετεχέτω· θηλείας
laws these the need of-the children of-him let-share females

δὲ ἂν καταλείπῃ τις ἀπροσδοκήτῳ τύχῃ χρησάμενος,
and if leave anyone unexpected fortune having-met
συγγνώμην τῷ τιθέντι τὸν νόμον ἐχέτω, ἐὰν τῶν τριῶν
pardon for-the setting the law let-him-have if of-the three
αὐτοῦ πρὸς τὰ δύο ἐπισκοπῶν τὴν ἔκδοσιν τῶν θυγατέρων
of-him toward the two considering the giving of-the daughters
ποιῆται, πρός τε τὴν τοῦ γένους ἀγχιστείαν καὶ τὴν
he-make toward both the of-the family nearness-of-kin and the
τοῦ κλήρου σωτηρίαν, τὸ δὲ τρίτον, ὅπερ ἂν πατὴρ
of-the lot preservation the and third which — father
διασκέψαιτο, ἐξ ἁπάντων τῶν πολιτῶν βλέπων εἰς ἤθη
would-consider from all the citizens looking to characters
τε καὶ τρόπους τὸν ἐπιτήδειον αὑτῷ μὲν υἱόν, νυμφίον δ'
both and ways the suitable for-himself indeed son bridegroom and
εἶναι τῇ θυγατρί, τοῦτο δὲ παραλείπῃ διὰ τὴν ἀδύνατον
to-be for-the daughter this but he-leave-out because-of the impossible
σκέψιν. νόμος τοίνυν εἰς δύναμιν ὅδε περὶ τῶν τοιούτων
consideration law then to power this-here about the such
κείσθω· ἐὰν ὁ μὴ διαθέμενος θυγατέρας λείπῃ, τοῦδε
let-be-laid-down if the not having-made-a-will daughters leave of-this-one
ἀποθανόντος, ἀδελφὸς ὁμοπάτωρ ἢ ἄκληρος ὁμομήτριος
having-died brother of-the-same-father or lotless of-the-same-mother
ἐχέτω τὴν θυγατέρα καὶ τὸν κλῆρον τοῦ τελευτήσαντος· ἐὰν
let-have the daughter and the lot of-the deceased if
δὲ μὴ ᾖ ἀδελφός, ἀδελφοῦ δὲ παῖς, ὡσαύτως, ἐὰν ἐν ἡλικίᾳ
but not be brother of-brother and child likewise if in age
πρὸς ἀλλήλους ὦσιν· ἐὰν δὲ μηδὲ εἷς τούτων, ἀδελφῆς
toward one-another they-be if but not-even one of-these of-sister
δὲ παῖς ᾖ, κατὰ ταὐτά· τέταρτος δὲ πατρὸς ἀδελφός,
and child be according-to the-same fourth and of-father brother
πέμπτος δὲ τούτου παῖς, ἕκτος δὲ ἀδελφῆς πατρὸς ἔκγονος.
fifth and of-this child sixth and of-sister of-father offspring

When a man leaves only daughters, the heiress marries her nearest kinsman in fixed order, and the judges weigh the fitness of age. If there are no kin, she may choose among citizens, even from a colony. The law's hardships are acknowledged, and arbitrators are appointed for those who cannot obey. The law-guardians become fathers to the orphans, and the souls of the dead, which care for their descendants, watch how the orphans are treated; whoever wrongs an orphan pays double.

ΑΘΗ. ὡσαύτως δὲ τὸ γένος ἀεὶ πορευέσθω κατ' 925
in-the-same-way and the kin always let-proceed according-to
ἀγχιστείαν, ἐάν τις παῖδας θηλείας καταλείπῃ, δι'
nearness-of-kin if anyone children female leave through
ἀδελφῶν τε καὶ ἀδελφιδῶν ἐπανιόν, ἔμπροσθε μὲν τῶν
brothers both and nephews going-back before indeed the
ἀρρένων, ὕστερον δὲ θηλειῶν ἑνὶ γένει. τὴν δὲ τούτων
males after and females in-one family the and of-these
γάμου χρόνου συμμετρίαν τε καὶ ἀμετρίαν ὁ δικαστὴς
of-marriage time fitness both and unfitness the judge
σκοπῶν κρινέτω, γυμνοὺς μὲν τοὺς ἄρρενας, γυμνὰς δὲ
examining let-him-judge naked indeed the males naked and
ὀμφαλοῦ μέχρι θεώμενος τὰς θηλείας· ἐὰν δὲ τοῖς οἰκείοις
navel up-to viewing the females if but for-the household
ἀπορία συγγενῶν ᾖ μέχρι μὲν ἀδελφοῦ υἱδῶν, μέχρι δὲ
lack of-kinsmen be up-to indeed brother's grandsons up-to and
πάππου παίδων ὡσαύτως, τῶν ἄλλων ὅντιν' ἂν ἡ παῖς
grandfather's children likewise of-the others whomever — the girl
μετ' ἐπιτρόπων αἱρῆται τῶν πολιτῶν ἑκούσιον ἑκουσία,
with guardians choose of-the citizens willing willing
κληρονόμος γιγνέσθω τοῦ τελευτήσαντος καὶ τῆς θυγατρὸς
heir let-become of-the deceased and of-the daughter
νυμφίος. ἔτι δὲ πολλὰ πολλῶν καὶ πλείων ἀπορία τῶν
bridegroom still and many-things of-many and greater lack of-the

τοιούτων γίγνοιτ' ἂν ἔστιν ὅτ' ἐν αὐτῇ τῇ πόλει· ἂν οὖν
such-things would-come-about — there-is when in itself the city if then
δή τις ἀπορουμένη τῶν αὐτόθεν ὁρᾷ τινα εἰς ἀποικίαν
indeed anyone being-at-a-loss of-the from-there see someone to colony
ἀπεσταλμένον, ᾖ δὲ κατὰ νοῦν αὐτῇ κληρονόμον
having-been-sent be and according-to mind to-her heir
ἐκεῖνον γίγνεσθαι τῶν τοῦ πατρός, ἐὰν μὲν συγγενὴς ᾖ,
that-one to-become of-the of-the father if indeed kinsman he-be
κατὰ τὴν τάξιν τοῦ νόμου ἐπὶ τὸν κλῆρον πορευέσθω,
according-to the order of-the law to the lot let-him-proceed
ἐὰν δὲ ἐκτὸς γένους, τῶν ἐν τῇ πόλει ὄντων ἔξω τῆς
if but outside family of-the in the city being outside of-the
συγγενείας, κύριος ἔστω κατὰ τὴν τῶν ἐπιτρόπων
kinship entitled let-him-be according-to the of-the guardians
καὶ τῆς παιδὸς τοῦ τελευτήσαντος αἵρεσιν γῆμαι καὶ τὸν
and of-the girl of-the deceased choice to-marry and the
κλῆρον ἐπανελθὼν οἴκαδε λαβεῖν τοῦ μὴ διαθεμένου.
lot having-returned home to-take of-the not having-made-a-will
d ἄπαις δὲ ἀρρένων τε καὶ θηλειῶν τὸ παράπαν ὃς ἂν
childless and of-males both and of-females the altogether whoever —
μὴ διαθέμενος τελευτᾷ, τὰ μὲν ἄλλα περὶ τοῦ τοιούτου
not having-made-a-will die the indeed other-things about the such
κατὰ τὸν ἔμπροσθεν ἐχέτω νόμον, θήλεια δὲ καὶ ἄρρην
according-to the earlier let-hold law female and and male
οἷον σύννομοι ἴτωσαν ἐκ τοῦ γένους εἰς τὸν ἐξηρημωμένον
as-it-were paired let-them-go from the family into the left-desolate
ἑκάστοτε οἶκον, ὧν ὁ κλῆρος γιγνέσθω κυρίως, ἀδελφὴ
each-time household of-whom the lot let-become validly sister
μὲν πρῶτον, ἀδελφοῦ δὲ θυγάτηρ δευτέρα, τρίτη δὲ
indeed first of-brother and daughter second third and
ἔκγονος ἀδελφῆς, τετάρτη δὲ πατρὸς ἀδελφή, καὶ πέμπτη
offspring of-sister fourth and of-father sister and fifth

πατρὸς ἀδελφοῦ παῖς, ἕκτη δὲ ἀδελφῆς πατρὸς ἂν εἴη
of-father of-brother child sixth and of-sister of-father — would-be
παῖς· συνοικίζειν δὲ ταύτας ἐκείνοις κατ᾽ ἀγχιστείαν καὶ
child to-marry and these to-those according-to nearness-of-kin and
θέμιν, ὡς ἔμπροσθεν ἐνομοθετήσαμεν. μὴ δὴ λανθανέτω
right as before we-legislated not indeed let-escape
τὸ τῶν τοιούτων νόμων ἡμᾶς βάρος, ὡς χαλεπῶς ἔστιν
the of-the such laws us weight that harshly there-is
ὅτε προστάττει τῷ τοῦ τελευτήσαντος κατὰ γένος οἰκείῳ
when it-orders to-the of-the deceased by kin relative
γαμεῖν τὴν συγγενῆ, μὴ δοκεῖ δὲ σκοπεῖν ἃ μυρία ἐν
to-marry the kinswoman not it-seems and to-consider which ten-thousand among
ἀνθρώποις ἐμπόδια γίγνεται τοῖς τοιούτοις ἐπιτάγμασιν τοῦ
men hindrances come-about to-the such commands of-the
μήτινα ἐθέλειν πείθεσθαι, πρότερον δὲ οὕστινας ὁτιοῦν
not-anyone to-wish to-obey before and whomever anything-whatever
ἂν βουληθῆναι παθεῖν, ὁπόταν ἢ σωμάτων νοσήματα
— wish to-suffer whenever either of-bodies diseases
καὶ πηρώσεις ἢ διανοίας ἔν τισιν τῶν ἐπιταττομένων
and maimings or of-mind in some of-the being-ordered
γαμεῖν ἢ γαμεῖσθαι γίγνηται. τούτων δὴ μηδὲν φροντίζειν
to-marry or to-be-married come-about of-these indeed nothing to-care-for
τάχ᾽ ἂν ὁ νομοθέτης δόξειέν τισιν, οὐκ ὀρθῶς δοκοῦν.
perhaps — the lawgiver would-seem to-some not rightly seeming
ἔστω τοίνυν εἰρημένον ὑπέρ τε νομοθέτου καὶ ὑπὲρ 926
let-it-be then said on-behalf-of both lawgiver and on-behalf-of
νομοθετουμένου σχεδὸν οἷον κοινὸν προοίμιον, συγγνώμην
the-one-legislated-for nearly as-it-were common prelude pardon
μὲν τῷ νομοθέτῃ τοὺς ἐπιταττομένους δεόμενον ἔχειν,
indeed to-the lawgiver the being-commanded needing to-have
ὅτι τῶν κοινῶν ἐπιμελούμενος οὐκ ἄν ποτε δύναιτο
that the common-things caring-for not — ever he-could

διοικεῖν ἅμα καὶ τὰς ἰδίας ἑκάστῳ γιγνομένας συμφοράς,
to-administer at-once also the private for-each arising misfortunes
συγγνώμην δ' αὖ καὶ τοῖς νομοθετουμένοις, ὡς τὰ τοῦ
pardon and again also to-the legislated-for that the of-the
νομοθετοῦντος εἰκότως ἐνίοτε οὐ δύνανται προστάγματα
legislating reasonably sometimes not they-are-able commands
τελεῖν, ἃ μὴ γιγνώσκων προστάττει.
to-fulfill which not knowing he-commands

CLIN. τί δή τις οὖν, ὦ ξένε, δρῶν πρὸς τὰ τοιαῦτα
what indeed anyone then O stranger doing toward the such-things
ἐμμετρότατος ἂν εἴη;
most-moderate — would-be

ATH. διαιτητάς, ὦ Κλεινία, τοῖς τοιούτοις νόμοις καὶ
arbitrators O Clinias for-the such laws and
νομοθετουμένοις ἀναγκαῖον αἱρεῖσθαι.
legislated-for necessary to-choose

CLIN. πῶς λέγεις;
how do-you-mean

b ATH. ἔστιν ὅτε πλουσίου πατρὸς ἀδελφιδοῦς τὴν τοῦ θείου
there-is when of-rich father nephew the of-the uncle
θυγατέρα ἑκὼν οὐκ ἂν ἐθέλοι λαμβάνειν, τρυφῶν καὶ
daughter willingly not — would-wish to-take living-luxuriously and
ἐπὶ μείζοσι γάμοις τὴν διάνοιαν ἐπέχων· ἔστιν δ' ὅτε καὶ
on greater marriages the mind fixing there-is and when also
συμφορὰν τὴν μεγίστην τοῦ νομοθέτου προστάττοντος,
misfortune the greatest the lawgiver commanding
ἀπειθεῖν ἀναγκάζοιτ' ἂν τῷ νόμῳ, μαινόμενα κηδεύματα
to-disobey he-would-be-compelled — the law mad alliances
ἀναγκάζοντος λαμβάνειν ἢ δεινὰς ἄλλας σωμάτων ἢ
compelling to-take or terrible other of-bodies or
ψυχῶν συμφοράς, ἃς ἀβίωτον ζῆν κεκτημένῳ. ὁ δὴ νῦν
of-souls misfortunes which unlivable to-live for-one-having the indeed now

λόγος ἡμῖν περὶ τούτων ὅδε νόμος κείσθω· ἐάν τινες
argument for-us about these-things this-here law let-be-laid-down if some
ἄρα περὶ διαθήκης ἐγκαλῶσι τοῖς κειμένοις νόμοις,
then about will bring-charges-against the laid-down laws
περί τε ἄλλων ὠντινωνοῦν καὶ δὴ καὶ περὶ γάμων,
about both other-things of-whatever-kind and indeed also about marriages
ἦ μὴν παρόντα καὶ ζῶντα αὐτὸν τὸν νομοθέτην μήποτ᾽
truly indeed present and living himself the lawgiver never
ἂν ἀναγκάσαι πράττειν οὕτω, μηδὲ γῆμαι μηδὲ γήμασθαι,
— would-compel to-act so nor to-marry nor to-be-married
τοὺς νῦν ἀναγκαζομένους ἑκάτερα δρᾶν, ὁ δέ τις τῶν
the now being-compelled either to-do the and anyone of-the
οἰκείων ἤ τις ἐπίτροπος φῇ, διαιτητὰς φάναι καὶ πατέρας
relatives or any guardian say arbitrators to-say and fathers
τοὺς πεντεκαίδεκα τῶν νομοφυλάκων καταλιπεῖν τοῖς
the fifteen of-the law-guardians to-have-left for-the
ὀρφανοῖς καὶ ὀρφαναῖς τὸν νομοθέτην· πρὸς οὓς ἐπανιόντες
orphan-boys and orphan-girls the lawgiver to whom going-up
διαδικαζέσθων οἱ περί τινος τῶν τοιούτων ἀμφισβητοῦντες,
let-them-have-decided the about any of-the such disputing
κύρια τελοῦντες τὰ τούτων δόγματα. ἂν δέ τῳ
valid carrying-out the of-these decisions if and to-anyone
μείζων δύναμις ἐπανατίθεσθαι δοκῇ τοῖς νομοφύλαξιν,
greater power to-be-attributed seem to-the law-guardians
εἰς τὸ τῶν ἐκκρίτων δικαστῶν δικαστήριον εἰσάγων
to the of-the select judges court bringing
αὐτοὺς διαδικαζέσθω περὶ τῶν ἀμφισβητουμένων· τῷ δὲ
them let-him-have-it-decided about the disputed to-the and
ἡττηθέντι παρὰ τοῦ νομοθέτου ψόγος καὶ ὄνειδος κείσθω,
defeated from the lawgiver blame and reproach let-be-laid-down
πολλῶν χρημάτων νοῦν κεκτημένῳ ζημία βαρυτέρα.
than-much money sense to-one-having penalty heavier

e νῦν δὴ τοῖς ὀρφανοῖς παισὶ γένεσις οἷον δευτέρα τις
now indeed for-the orphan children birth as-it-were second some
γίγνοιτ᾽ ἄν. μετὰ μὲν οὖν τὴν πρώτην ἑκάστοις εἴρηνται
would-come-about — after indeed then the first for-each have-been-told
τροφαὶ καὶ παιδεύσεις· μετὰ δὲ τὴν δευτέραν, ἔρημον
nurtures and educations after and the second destitute
πατέρων γενομένην, μηχανᾶσθαι δεῖ τίνα τρόπον ἡ τῆς
of-fathers having-come-about to-contrive one-must what way the of-the
ὀρφανίας τύχη τοῖς γενομένοις ὀρφανοῖς ὡς ἥκιστα ἔλεον
orphanhood fortune for-the having-become orphans as least pity
ἕξει τῆς συμφορᾶς. πρῶτον μὲν δή φαμεν νομοθετεῖν
will-have of-the misfortune first indeed indeed we-say to-legislate
αὐτοῖς τοὺς νομοφύλακας ἀντὶ γεννητόρων πατέρας οὐ
for-them the law-guardians in-place-of begetters fathers not
χείρους, καὶ δὴ καὶ καθ᾽ ἕκαστον ἐνιαυτὸν ὡς οἰκείων
worse and indeed also by each year as of-their-own
ἐπιμελεῖσθαι προστάττομεν, ἐμμελῆ τούτοις τε αὐτοῖς περὶ
to-care-for we-command fitting to-these both themselves about
τροφῆς ὀρφανῶν προοιμιασάμενοι καὶ τοῖς ἐπιτρόποις.
nurture of-orphans having-made-a-prelude and to-the guardians
927 εἴς τινα γὰρ οὖν μοι καιρὸν φαινόμεθα τοὺς ἔμπροσθεν
to some for then to-me season we-seem the earlier
λόγους διεξελθεῖν, ὡς ἄρα αἱ τῶν τελευτησάντων
arguments to-have-gone-through that then the of-the deceased
ψυχαὶ δύναμιν ἔχουσίν τινα τελευτήσασαι, ᾗ τῶν κατ᾽
souls power have some having-died by-which of-the among
ἀνθρώπους πραγμάτων ἐπιμελοῦνται· ταῦτα δὲ ἀληθεῖς
men affairs they-care-for these-things and true
μέν, μακροὶ δ᾽ εἰσὶν περιέχοντες λόγοι, πιστεύειν δὲ ταῖς
indeed long but are encompassing arguments to-believe and the
ἄλλαις φήμαις χρεὼν περὶ τὰ τοιαῦτα, οὕτω πολλαῖσιν
other reports needful about the such-things so many

καὶ σφόδρα παλαιαῖς οὔσαις, πιστεύειν δ᾽ αὖ καὶ τοῖς
and very ancient being to-believe and again also the
νομοθετοῦσιν ταῦθ᾽ οὕτως ἔχειν, ἄνπερ μὴ παντάπασιν
legislating these-things so to-be if-indeed not altogether
ἄφρονες φαίνωνται. ταύτῃ δὲ εἰ ταῦτ᾽ ἐστὶν κατὰ
foolish they-appear in-this-way and if these-things are according-to
φύσιν, πρῶτον μὲν τοὺς ἄνω θεοὺς φοβείσθων, οἳ τῶν
nature first indeed the above gods let-them-fear who of-the
ὀρφανῶν τῆς ἐρημίας αἰσθήσεις ἔχουσιν, εἶτα τὰς τῶν
orphans of-the desolation perceptions have then the of-the
κεκμηκότων ψυχάς, αἷς ἐστιν ἐν τῇ φύσει τῶν αὑτῶν
having-died souls to-which it-is in the nature of-the their-own
ἐκγόνων κήδεσθαι διαφερόντως καὶ τιμῶσίν τε αὐτοὺς
offspring to-care-for exceptionally and honoring both them
εὐμενεῖς εἶναι καὶ ἀτιμάζουσιν δυσμενεῖς, ἔτι δὲ τὰς τῶν
well-disposed to-be and dishonoring ill-disposed still and the of-the
ζώντων μέν, ἐν γήρᾳ δὲ ὄντων καὶ ἐν μεγίσταις τιμαῖς —
living indeed in old-age and being and in greatest honors
ὅπουπερ πόλις εὐνομοῦσα εὐδαιμονεῖ, τούτους οἱ παῖδες
wherever city well-governed is-happy these the children
παίδων φιλοστοργοῦντες ζῶσι μεθ᾽ ἡδονῆς· καὶ τὰ περὶ
of-children loving live with pleasure and the about
ταῦτα ὀξὺ μὲν ἀκούουσιν βλέπουσίν τε ὀξύ, τοῖς τε περὶ
these-things sharply indeed hear see and sharply to-the both about
αὐτὰ δικαίοις εὐμενεῖς εἰσιν, νεμεσῶσίν τε μάλιστα αὖ
them just well-disposed are are-indignant and most again
τοῖς εἰς ὀρφανὰ καὶ ἔρημα ὑβρίζουσιν, παρακαταθήκην
at-the toward orphan and desolate committing-outrage deposit
εἶναι μεγίστην ἡγούμενοι καὶ ἱερωτάτην — οἷς ἐπίτροπον
to-be greatest considering and holiest to-whom guardian
καὶ ἄρχοντα πᾶσι δεῖ τὸν νοῦν, ᾧ καὶ βραχὺς
and ruler for-all one-must the mind in-whom even small

ἐνείη, προσέχοντα, καὶ εὐλαβούμενον περὶ τροφήν τε καὶ
be-in attending and being-careful about nurture both and
παιδείαν ὀρφανῶν, ὡς ἔρανον εἰσφέροντα ἑαυτῷ τε καὶ
education of-orphans as contribution contributing to-himself both and
τοῖς αὑτοῦ, κατὰ δύναμιν πάντως πᾶσαν εὐεργετεῖν.
to-the his-own according-to power altogether all to-do-good
d ὁ μὲν δὴ πεισθεὶς τῷ πρὸ τοῦ νόμου
the(-one) indeed indeed having-been-persuaded by-the before the law
μύθῳ καὶ μηδὲν εἰς ὀρφανὸν ὑβρίσας οὐκ εἴσεται
story and nothing toward orphan having-outraged not will-know
ἐναργῶς τὴν περὶ τὰ τοιαῦτα ὀργὴν νομοθέτου, ὁ δὲ
vividly the about the such-things anger of-lawgiver the(-other) and
ἀπειθὴς καί τινα πατρὸς ἢ μητρὸς ἔρημον ἀδικῶν διπλῆν
disobedient and anyone of-father or of-mother bereft wronging double
τινέτω πᾶσαν τὴν βλάβην ἢ περὶ τὸν ἀμφιθαλῆ
let-him-pay all the damage than about the having-both-parents
γενόμενος κακός. τὴν δὲ ἄλλην νομοθεσίαν ἐπιτρόποισίν
having-become bad the and other legislation for-guardians
τε περὶ ὀρφανοὺς ἄρχουσίν τε περὶ τὴν ἐπιμέλειαν τῶν
both about orphans for-officials and about the care of-the
ἐπιτρόπων, εἰ μὲν μὴ παράδειγμά τε τροφῆς παίδων
guardians if indeed not example both of-nurture of-children
ἐλευθέρων ἐκέκτηντο αὐτοὶ τρέφοντες τοὺς αὑτῶν καὶ
free they-possessed themselves rearing the their-own and
τῶν οἰκείων χρημάτων ἐπιμελούμενοι, ἔτι δὲ νόμους περὶ
of-the household money caring-for still and laws about
αὐτῶν τούτων μετρίως διειρημένους εἶχον, εἶχέν τινα
very these moderately defined they-had it-would-have some
λόγον ἂν ἐπιτροπικούς τινας νόμους, ὡς ὄντας ἰδίᾳ
reason — guardianship some laws as being privately
διαφέροντας πολύ, τιθέναι, ποικίλλοντας ἐπιτηδεύμασιν
differing much to-set diversifying with-practices

ἰδίοις τὸν τῶν ὀρφανῶν βίον παρὰ τὸν τῶν μή· νῦν δὲ
private the of-the orphans life beside the of-the not now but
εἰς μὲν τὰ τοιαῦτα σύμπαντα οὐ πολὺ διαφέρον ἢ παρ᾽
to indeed the such all not much differing the among
ἡμῖν ὀρφανία κέκτηται τῆς πατρονομικῆς, τιμαῖς δὲ καὶ
us orphanhood has from-the fatherly-rule in-honors but and
ἀτιμίαις ἅμα καὶ ἐπιμελείαισιν οὐδαμῶς ἐξισοῦσθαι φιλεῖ.
in-dishonors at-once and in-cares in-no-way to-be-made-equal is-wont

VI · GUARDIANS, DISOWNING, AND DIVORCE

A guardian loves an orphan as his own child and cares for the property better than his own; guardian and supervising official may bring each other to court, and the orphan may sue within five years of coming of age. A father may disown a son only by persuading more than half of the assembled kinsmen to vote with him, and a disowned son may be adopted by another citizen. A son may bring a charge of insanity against a father who ruins the house. Ten law-guardians and ten women of the marriage board try to reconcile quarreling spouses, and the children of slaves follow set rules.

ΑΘΗ. διὸ δὴ περὶ τοῦτο αὐτὸ τὴν ὀρφανῶν πέρι 928
wherefore indeed about this itself the of-orphans about
νομοθεσίαν παραμυθούμενός τε καὶ ἀπειλῶν ὁ νόμος
legislation consoling both and threatening the law
ἐσπούδακεν. ἔτι δ᾽ ἀπειλή τις ἂν τοιάδε εἴη μάλα
has-been-earnest still and threat some — such would-be very
ἔγκαιρος· ὃς ἂν θῆλυν εἴτε ἄρρενα ἐπιτροπεύῃ, καὶ
δοκεῖ τοῦτ' ἐλλεῖπον τοῖς νόμοις εἶναι, πῶς χρὴ τὴν
seems this lacking to-the laws to-be how one-must the
ἀμετάστροφον αὐτοῖς ἐγγίγνεσθαι κατὰ φύσιν δύναμιν.
irreversible for-them to-come-to-be according-to nature power
CLIN. οὐ σμικρὸν λέγεις, εἴπερ ἐστὶ μὴ δυνατὸν εὑρεῖν ὅπῃ
not small you-say if-indeed it-is not possible to-find how
γίγνοιτ' ἂν παντὶ κτῆμά τι τοιοῦτον.
would-come-about — for-everything possession any such
e ATH. ἀλλ' ἔστι μὴν δυνατόν, ὥς γέ μοι τὰ νῦν
but it-is indeed possible as at-least to-me the now
παντάπασι καταφαίνεται.
altogether appears
CLIN. μὴ τοίνυν ἀφιστώμεθα μηδενὶ τρόπῳ, πρὶν ἂν τοῦτ'
not then let-us-desist in-no way before — this
αὐτὸ ἐκπορισώμεθα τοῖς εἰρημένοις νόμοις· γελοῖον γὰρ τό
itself we-provide for-the said laws ridiculous for the
γε μάτην πονήσαντα ὁτιοῦν εἰς μηδὲν βέβαιον καταβαλεῖν.
at-least in-vain having-labored anything on nothing secure to-lay

ATH. ὀρθῶς παρακελεύῃ, καὶ ἐμὲ τοιοῦτον εὑρήσεις ἄλλον.
rightly you-exhort and me such you-will-find another
CLIN. καλῶς δὴ λέγεις. τίς οὖν δή, φῄς, σωτηρία
finely indeed you-speak what then indeed do-you-say preservation
γίγνοιτ' ἂν καὶ τίνα τρόπον πολιτείᾳ τε καὶ τοῖς
would-come-about — and what way for-constitution both and for-the
νόμοις ἡμῖν;
laws for-us
ATH. ἆρ' οὐκ εἴπομεν ὅτι δεῖ σύλλογον ἡμῖν ἐν τῇ 961
then not we-said that one-must assembly for-us in the
πόλει γίγνεσθαι τοιόνδε τινά; δέκα μὲν τῶν νομοφυλάκων
city to-be such some ten indeed of-the law-guardians
τοὺς πρεσβυτάτους ἀεί, τοὺς δὲ τἀριστεῖα εἰληφότας
the oldest always the and the-prizes-of-valor having-received
ἅπαντας δεῖν εἰς ταὐτὸ συλλέγεσθαι τούτοις, ἔτι δὲ
all to-be-necessary into the-same to-assemble with-these still and
τοὺς ἐκδημήσαντας ἐπὶ ζήτησιν εἴ τί που πρὸς τὴν
the having-gone-abroad for search if anything anywhere toward the
νομοφυλακίαν γίγνοιτο ἓν καίριον ἀκοῦσαι καὶ σωθέντας
law-guarding should-be one timely to-hear and having-returned-safe
οἴκαδε, δόξαι, τούτοις αὐτοῖς διαβασανισθέντας, τοῦ
home to-seem to-these themselves having-been-tested of-the
συλλόγου ἀξιοκοινωνήτους εἶναι· πρὸς τούτοις δὲ ἕνα
assembly worthy-to-share to-be in-addition-to these and one
ἕκαστον δεῖν προσλαμβάνειν τῶν νέων, μὴ ἔλαττον
each to-be-necessary to-take-on of-the young not less
ἢ τριάκοντ' ἔτη γεγονότα, πρῶτον δὲ αὐτὸν κρίναντα
than thirty years having-become first and himself having-judged
ἐπάξιον εἶναι φύσει καὶ τροφῇ, τὸν νέον οὕτως εἰς
worthy to-be by-nature and by-nurture the young-man so to
τοὺς ἄλλους εἰσφέρειν, καὶ ἐὰν μὲν δόξῃ καὶ τοῖς
the others to-introduce and if indeed it-seem-good also to-the

ἄλλοις, προσλαμβάνειν, εἰ δὲ μή, ἀπόρρητον εἶναι τὴν
others to-take-on if but not secret to-be the
γεγονυῖαν κρίσιν τοῖς τε ἄλλοις δὴ καὶ μάλιστ᾽ αὐτῷ
having-happened judgment to-the both others indeed and most to-him
τῷ ἀποκριθέντι· δεῖν δὲ ὄρθριον εἶναι τὸν σύλλογον,
the rejected to-be-necessary and at-dawn to-be the assembly
ἡνίκ᾽ ἂν τῶν ἄλλων πράξεων ἰδίων τε καὶ κοινῶν καὶ
when — of-the other affairs private both and public and
μάλιστ᾽ ᾖ τις σχολὴ παντί. τοιοῦτόν τί που λεχθὲν
most be any leisure for-everyone such something surely said
ἡμῖν ἦν ἐν τοῖς ἔμπροσθεν λόγοις;
by-us was in the earlier arguments

CLIN. ἦν γὰρ οὖν.
it-was for indeed

ATH. τούτου δὴ πέρι τοῦ συλλόγου πάλιν ἀναλαβὼν
of-this indeed about the assembly again having-taken-up
λέγοιμ᾽ ἂν τὸ τοιόνδε. φημί, εἴ τις τοῦτον βάλοιτο
I-would-say — the such I-say if anyone this should-cast
οἷον ἄγκυραν πάσης τῆς πόλεως, πάντα ἔχουσαν τὰ
as-it-were anchor of-all the city all having the
πρόσφορα ἑαυτῇ, σώζειν ἂν σύμπαντα ἃ βουλόμεθα.
suitable to-itself to-preserve — all-together what we-wish

CLIN. πῶς δή;
how indeed

ATH. τὸ μετὰ τοῦτο ἡμέτερος ἂν καιρὸς γίγνοιτο ὀρθῶς
the after this our — season would-come rightly
φράζοντας μηδὲν ἀπολείπειν προθυμίας.
telling nothing to-leave-out of-eagerness

CLIN. καὶ μάλα καλῶς εἶπες, ποίει θ᾽ ὥσπερ καὶ διανοῇ.
and very finely you-spoke do and just-as also you-intend

ATH. χρὴ τοίνυν, ὦ Κλεινία, παντὸς πέρι νοῆσαι d
one-must then O Clinias of-everything about to-consider
σωτῆρα τὸν εἰκότα ἐν ἑκάστοις τῶν ἔργων, ὡς ἐν ζῴῳ
preserver the fitting in each of-the works as in animal
ψυχὴ καὶ κεφαλή, τό γε μέγιστον, πεφύκατον.
soul and head the at-least greatest the-two-are-by-nature
CLIN. πῶς αὖ φῄς;
how again do-you-say
ATH. ἡ τούτοιν ἀρετὴ δήπου παντὶ παρέχει ζῴῳ σωτηρίαν.
the of-these-two virtue surely to-every provides animal preservation
CLIN. πῶς;
how
ATH. ψυχῇ μὲν πρὸς τοῖς ἄλλοις νοῦς ἐγγιγνόμενος,
to-soul indeed in-addition-to the other-things mind being-in
κεφαλῇ δ' αὖ πρὸς τοῖς ἄλλοις ὄψις καὶ ἀκοή·
to-head and again in-addition-to the other-things sight and hearing
συλλήβδην δὲ νοῦς μετὰ τῶν καλλίστων αἰσθήσεων
in-sum and mind with the finest senses
κραθείς, γενόμενός τε εἰς ἕν, σωτηρία ἑκάστων δικαιότατ'
mingled having-become both into one preservation of-each most-justly
ἂν εἴη καλουμένη.
— *would-be called*
CLIN. ἔοικε γοῦν.
it-seems at-any-rate
ATH. ἔοικε γάρ. ἀλλ' ὁ περὶ τί νοῦς μετ' αἰσθήσεων e
it-seems for but the about what mind with senses
κραθεὶς σωτηρία πλοίων ἔν γε χειμῶσιν καὶ ἐν εὐδίαις
mingled preservation of-ships in at-least storms and in fair-weathers
γίγνοιτ' ἄν; ἆρ' οὐκ ἐν νηὶ κυβερνήτης ἅμα καὶ ναῦται
would-become — then not in ship pilot at-once and sailors

τὰς αἰσθήσεις τῷ κυβερνητικῷ νῷ συγκερασάμενοι
the senses with-the piloting mind having-mingled
σῴζουσιν αὑτούς τε καὶ τὰ περὶ τὴν ναῦν;
preserve themselves both and the about the ship
CLIN. τί μήν;
what indeed

VIII · THE ONE AIM

Generals aim at victory and physicians at health; a statesman ignorant of his target could neither be called a ruler nor preserve his city. Other cities' laws aim at rule, wealth, or freedom, but these aim at virtue. Virtue is four and yet one: courage and prudence differ, since courage arises without reason even in beasts. The guardians must know both what each virtue is and how they are one. The city is the trunk, and its guardians the head, the most gifted young men set at the crown to watch the whole city.

962 ATH. οὐδὲν δὴ πολλῶν δεῖ τῶν περὶ τὰ τοιαῦτα
nothing indeed many it-is-needful of-the about the such-things
παραδειγμάτων· ἀλλ' οἷον περὶ στρατοπέδων νοήσωμεν
examples but as about armies let-us-consider
τίνα θέμενοι στρατηγοὶ σκοπὸν καὶ ἰατρικὴ ὑπηρεσία
what having-set generals target and medical service
πᾶσα στοχάζοιτ' ἂν τῆς σωτηρίας ὀρθῶς. ἆρ' οὐχ ἡ
all would-aim — of-the preservation rightly then not the(-one)
μὲν νίκην καὶ κράτος πολεμίων, ἡ δὲ ἰατρῶν τε
indeed victory and mastery of-enemies the(-other) and of-physicians both
καὶ ὑπηρετῶν ὑγιείας σώματι παρασκευήν;
and of-servants of-health for-body provision
CLIN. πῶς γὰρ οὔ;
how for not

ATH. ἰατρὸς δὴ τὸ περὶ σῶμα ἀγνοῶν, ὃ προσείπομεν
physician indeed the about body being-ignorant-of which we-called
ὑγίειαν νῦν, ἢ νίκην στρατηγὸς ἢ τῶν ἄλλων ὅσα
health now or victory general or of-the others as-many-as
δὴ διήλθομεν, ἔσθ' ὅπως ἂν νοῦν περί τι τούτων
indeed we-went-through is-there how — sense about anything of-these
ἂν ἔχων φαίνοιτο;
— having he-would-appear
CLIN. καὶ πῶς;
and how
ATH. τί δὲ δὴ περὶ πόλιν; εἴ τις τὸν σκοπὸν οἷ βλέπειν b
what and indeed about city if anyone the target whither to-look
δεῖ τὸν πολιτικὸν φαίνοιτο ἀγνοῶν, ἆρα ἄρχων μὲν
one-must the statesman should-appear being-ignorant-of then ruler indeed
πρῶτον δικαίως ἂν προσαγορεύοιτο, εἶτα σῴζειν ἂν δυνατὸς
first justly — would-be-be-called then to-preserve — able
εἴη τοῦτο οὗ τὸν σκοπὸν τὸ παράπαν μηδ' εἰδείη;
would-be-be this of-which the target the altogether not-even he-should-know
CLIN. καὶ πῶς;
and how
ATH. δεῖ δὴ καὶ τὰ νῦν, ὡς ἔοικεν, εἴπερ μέλλει c
one-must indeed also the now as it-seems if-indeed is-going
τέλος ὁ κατοικισμὸς τῆς χώρας ἡμῖν ἕξειν, εἶναί τι
end the settlement of-the country for-us to-have to-be something
τὸ γιγνῶσκον ἐν αὐτῷ πρῶτον μὲν τοῦτο ὃ λέγομεν,
the knowing in it first indeed this which we-call
τὸν σκοπόν, ὅστις ποτὲ ὁ πολιτικὸς ὢν ἡμῖν τυγχάνει,
the target whatever ever the statesman being for-us happens
ἔπειτα ὅντινα τρόπον δεῖ μετασχεῖν τούτου καὶ τίς
then what way one-must to-partake of-this and who
αὐτῷ καλῶς ἢ μὴ συμβουλεύει, τῶν νόμων αὐτῶν
for-it finely or not advises of-the laws themselves

πρῶτον, ἔπειτα ἀνθρώπων· εἰ δ' ἔσται τοῦ τοιούτου κενή
first then of-men if but will-be of-the such empty
τις πόλις, οὐδὲν θαυμαστὸν ἄνους οὖσα καὶ ἀναίσθητος εἰ
any city nothing wondrous mindless being and senseless if
πράξει τὸ προστυχὸν ἑκάστοτε ἐν ἑκάσταις τῶν πράξεων.
it-will-do the chancing-thing each-time in each of-the actions

CLIN. ἀληθῆ λέγεις.
true-things you-say

ATH. νῦν οὖν ἡμῖν ἐν τίνι ποτὲ τῶν τῆς πόλεως μερῶν ἢ
now then for-us in what ever of-the of-the city parts or
ἐπιτηδευμάτων ἔστιν ἱκανὸν κατεσκευασμένον ὁτιοῦν
practices is sufficient constructed anything-whatever
τοιοῦτον φυλακτήριον; ἔχομεν φράζειν;
such safeguard can-we to-tell

CLIN. οὐ δῆτα, ὦ ξένε, σαφῶς γε· εἰ δ' οὖν τοπάζειν
not indeed O stranger clearly at-least if but then to-guess
δεῖ, δοκεῖ μοι τείνειν ὁ λόγος οὗτος εἰς τὸν σύλλογον
one-must seems to-me to-tend the argument this to the assembly
ὃν εἶπες νυνδὴ νύκτωρ δεῖν συνιέναι.
which you-mentioned just-now by-night to-be-necessary to-assemble

d ATH. κάλλισθ' ὑπέλαβες, ὦ Κλεινία, καὶ δεῖ δὴ τοῦτον, ὡς
most-finely you-took-it-up O Clinias and one-must indeed this as
ὁ νῦν παρεστηκὼς ἡμῖν λόγος μηνύει, πᾶσαν ἀρετὴν ἔχειν·
the now present for-us argument indicates all virtue to-have
ἧς ἄρχει τὸ μὴ πλανᾶσθαι πρὸς πολλὰ στοχαζόμενον, ἀλλ'
of-which begins the not to-wander toward many aiming but
εἰς ἓν βλέποντα πρὸς τοῦτο ἀεὶ τὰ πάντα οἷον βέλη ἀφιέναι.
at one looking at this always the all-things as arrows to-let-fly

CLIN. παντάπασι μὲν οὖν.
altogether indeed then

ATH. νῦν δὴ μαθησόμεθα ὅτι θαυμαστὸν οὐδὲν πλανᾶσθαι e
now indeed we-shall-learn that wondrous nothing to-wander
τὰ τῶν πόλεων νόμιμα, ὅτι πρὸς ἄλλο ἄλλη βλέπει τῶν
the of-the cities customs because toward other other looks of-the
νομοθεσιῶν ἐν τῇ πόλει ἑκάστῃ. καὶ τὰ μὲν πολλὰ οὐδὲν
legislations in the city each and the indeed many-things nothing
θαυμαστὸν τὸ τοῖς μὲν τὸν ὅρον εἶναι τῶν δικαίων
wondrous the for-the(-ones) indeed the limit to-be of-the just-things
ὅπως ἄρξουσί τινες ἐν τῇ πόλει, εἴτ' οὖν βελτίους εἴτε
how will-rule some in the city whether then better or
χείρους τυγχάνουσιν ὄντες, τοῖς δ', ὅπως πλουτήσουσιν,
worse they-happen being for-the(-others) and how they-will-be-rich
εἴτ' οὖν δοῦλοί τινων ὄντες εἴτε καὶ μή, τῶν δ' ἡ
whether then slaves of-some being or also not of-the(-others) and the
προθυμία πρὸς τὸν ἐλεύθερον δὴ βίον ὡρμημένη· οἱ
eagerness toward the free indeed life having-been-impelled the(-others)
δὲ καὶ σύνδυο νομοθετοῦνται, πρὸς ἄμφω βλέποντες,
and also two-together legislate toward both looking
ἐλεύθεροί τε ὅπως ἄλλων τε πόλεων ἔσονται δεσπόται,
free both how of-other both cities they-will-be masters
οἱ δὲ σοφώτατοι, ὡς οἴονται, πρὸς ταῦτά τε καὶ τὰ
the(-ones) and wisest as they-think toward these-things both and the
τοιαῦτα σύμπαντα, εἰς ἓν δὲ οὐδὲν διαφερόντως τετιμημένον
such-things all to one but nothing exceptionally honored
ἔχοντες φράζειν εἰς ὃ τἆλλ' αὐτοῖς δεῖ βλέπειν.
being-able to-tell to which the-rest for-them one-must to-look
CLIN. οὐκοῦν τό γ' ἡμέτερον, ὦ ξένε, ὀρθῶς ἂν εἴη 963
therefore the at-least our O stranger rightly — would-be
πάλαι τιθέμενον; πρὸς γὰρ ἓν ἔφαμεν δεῖν ἀεὶ
long-ago being-laid-down toward for one we-said to-be-necessary always

πάνθ' ἡμῖν τὰ τῶν νόμων βλέποντ' εἶναι, τοῦτο δ'
all for-us the of-the laws looking to-be this and
ἀρετήν που συνεχωροῦμεν πάνυ ὀρθῶς λέγεσθαι.
virtue surely we-agreed very rightly to-be-said

ATH. ναί.
yes

CLIN. τὴν δέ γε ἀρετὴν τέτταρα ἔθεμέν που.
the but at-least virtue four we-set surely

ATH. πάνυ μὲν οὖν.
certainly indeed then

CLIN. νοῦν δέ γε πάντων τούτων ἡγεμόνα, πρὸς ὃν δὴ
mind but at-least of-all these leader toward which indeed
τά τε ἄλλα πάντα καὶ τούτων τὰ τρία δεῖ βλέπειν.
the both other-things all and of-these the three one-must to-look

b ATH. κάλλιστ' ἐπακολουθεῖς, ὦ Κλεινία. καὶ τὰ λοιπὰ
most-finely you-follow O Clinias and the rest
δὴ συνακολούθει. νοῦν γὰρ δὴ κυβερνητικὸν μὲν καὶ
indeed follow-along mind for indeed piloting indeed and
ἰατρικὸν καὶ στρατηγικὸν εἴπομεν εἰς τὸ ἓν ἐκεῖνο οἷ
medical and general's we-said to the one that whither
δεῖ βλέπειν, τὸν δὲ πολιτικὸν ἐλέγχοντες ἐνταῦθ' ἐσμὲν
one-must to-look the and statesman examining here we-are
νῦν, καὶ καθάπερ ἄνθρωπον ἐπανερωτῶντες εἴποιμεν ἄν·
now and as man questioning-again we-would-say —
"ὦ θαυμάσιε, σὺ δὲ δὴ ποῖ σκοπεῖς; τί ποτ' ἐκεῖνό
O wonderful-one you and indeed whither do-you-look what ever that
ἐστι τὸ ἕν, ὃ δὴ σαφῶς ὁ μὲν ἰατρικὸς νοῦς ἔχει
is the one which indeed clearly the indeed medical mind is-able
φράζειν, σὺ δ' ὢν δὴ διαφέρων, ὡς φαίης ἄν,
to-tell you but being indeed differing as you-would-say —
πάντων τῶν ἐμφρόνων, οὐχ ἕξεις εἰπεῖν;" ἢ σύ γε,
of-all the sensible not will-you-be-able to-say or you at-least

Μέγιλλε καὶ Κλεινία, ἔχετον διαρθροῦντες ὑπὲρ αὐτοῦ
Megillus and Clinias are-you-two-able articulating about it
φράζειν πρὸς ἐμὲ τί ποτέ φατε εἶναι τοῦτο, καθάπερ
to-tell to me what ever you-say to-be this as
ὑπὲρ ἄλλων ἐγὼ πρὸς ὑμᾶς συχνῶν διωριζόμην;
about others I to you many I-defined

CLIN. οὐδαμῶς, ὦ ξένε.
in-no-way O stranger

ATH. τί δ' ὅτι δεῖ προθυμεῖσθαί τε συνιδεῖν αὐτὸ
what and that one-must to-be-eager both to-see-together it
καὶ ἐν οἷς;
and in what-things

CLIN. οἷον ἐν τίσι λέγεις;
as in which-things do-you-mean

ATH. οἷον ὅτε τέτταρα ἐφήσαμεν ἀρετῆς εἴδη γεγονέναι,
as when four we-said of-virtue forms to-be
δῆλον ὡς ἓν ἕκαστον ἀνάγκη φάναι, τεττάρων γε
clear that one each necessity to-say four at-least
ὄντων.
being

CLIN. τί μήν;
what indeed

ATH. καὶ μὴν ἕν γε ἅπαντα ταῦτα προσαγορεύομεν. d
and indeed one at-least all these we-call
ἀνδρείαν γάρ φαμεν ἀρετὴν εἶναι, καὶ τὴν φρόνησιν
courage for we-say virtue to-be and the prudence
ἀρετήν, καὶ τὰ δύο τἆλλα, ὡς ὄντως ὄντα οὐ πολλὰ
virtue and the two others as really being not many
ἀλλ' ἓν τοῦτο μόνον, ἀρετήν.
but one this only virtue

CLIN. πάνυ μὲν οὖν.
certainly indeed then

ATH. ᾗ μὲν τοίνυν διαφέρετον αὐτοῖν τούτω τὼ
in-what indeed then the-two-differ from-each-other these-two the
δύο καὶ δύ᾽ ὀνόματα ἐλαβέτην καὶ τἆλλα, οὐδὲν χαλεπὸν
two and two names received and the-rest nothing hard
εἰπεῖν· ᾗ δὲ ἓν ἀμφοῖν ἐπωνομάσαμεν, ἀρετήν, καὶ
to-say in-what but one for-both we-named virtue also
τοῖς ἄλλοις, οὐκ εὐπετὲς ἔτι.
for-the others not easy still

CLIN. πῶς λέγεις;
how do-you-mean

ATH. οὐδὲν χαλεπὸν ὃ λέγω δηλῶσαι. διανειμώμεθα γὰρ
nothing hard what I-mean to-make-clear let-us-distribute for
ἀλλήλοις τὴν ἐρώτησιν καὶ ἀπόκρισιν.
with-one-another the questioning and answering

CLIN. πῶς αὖ φράζεις;
how again do-you-declare

e ATH. ἐρώτησόν με τί ποτε ἓν προσαγορεύοντες ἀρετὴν
ask me what ever one calling virtue
ἀμφότερα, δύο πάλιν αὐτὰ προσείπομεν, τὸ μὲν
both two again them we-called the(-one) indeed
ἀνδρείαν, τὸ δὲ φρόνησιν. ἐρῶ γάρ σοι τὴν αἰτίαν,
courage the(-other) and prudence I-will-tell for you the cause
ὅτι τὸ μέν ἐστιν περὶ φόβον, οὗ καὶ τὰ θηρία
that the(-one) indeed is about fear of-which also the beasts
μετέχει, τῆς ἀνδρείας, καὶ τά γε τῶν παίδων ἤθη
partake of-the courage and the at-least of-the children characters
τῶν πάνυ νέων· ἄνευ γὰρ λόγου καὶ φύσει γίγνεται
of-the very young without for reason also by-nature becomes
ἀνδρεία ψυχή, ἄνευ δὲ αὖ λόγου ψυχὴ φρόνιμός τε καὶ
courageous soul without but again reason soul wise both and

νοῦν ἔχουσα οὔτ᾽ ἐγένετο πώποτε οὔτ᾽ ἔστιν οὐδ᾽ αὖθίς
mind having neither became ever nor is nor again
ποτε γενήσεται, ὡς ὄντος ἑτέρου.
ever will-become as being different
CLIN. ἀληθῆ λέγεις.
true-things you-say
ATH. ᾗ μὲν τοίνυν ἐστὸν διαφόρω καὶ δύο, σὺ παρ᾽ 964
in-what indeed then the-two-are different and two you from
ἐμοῦ ἀπείληφας τῷ λόγῳ· ᾗ δὲ ἓν καὶ ταὐτόν,
me have-received by-the argument in-what but one and the-same
σὺ πάλιν ἀπόδος ἐμοί. διανοοῦ δὲ ὡς ἐρῶν καὶ ὅπῃ
you again give-back to-me consider and as going-to-say also how
τέτταρα ὄντα ἕν ἐστι, καὶ ἐμὲ δὲ ἀξίου, σοῦ δείξαντος
four being one is and me and deem-worthy you having-shown
ὡς ἕν, πάλιν ὅπῃ τέτταρα. καὶ δὴ τὸ μετὰ τοῦτο
how one again how four and indeed the after this
σκοπῶμεν τὸν εἰδότα ἱκανῶς περὶ ὁντινωνοῦν οἷς
let-us-consider the knowing sufficiently about anything-whatever for-which
ἔστιν μὲν ὄνομα, ἔστιν δὲ αὖ καὶ λόγος, πότερον μόνον
there-is indeed name there-is and again also definition whether only
ἐπίστασθαι τοὔνομα χρεών, τὸν δὲ λόγον ἀγνοεῖν, ἢ
to-know the-name needful the and definition to-be-ignorant-of or
τόν γε ὄντα τι καὶ περὶ τῶν διαφερόντων μεγέθει
the at-least being something also about the differing in-magnitude
τε καὶ κάλλει πάντα τὰ τοιαῦτα ἀγνοεῖν αἰσχρόν.
both and in-beauty all the such-things to-be-ignorant-of shameful
CLIN. ἔοικεν γοῦν.
it-seems at-any-rate
ATH. μεῖζον δή τι νομοθέτῃ τε καὶ νομοφύλακι, καὶ
greater indeed anything for-lawgiver both and for-law-guardian and
ὃς ἀρετῇ πάντων διαφέρειν οἴεται καὶ νικητήρια τούτων
who in-virtue than-all to-surpass thinks and prizes of-these

αὐτῶν εἴληφεν, ἢ ταῦτα αὐτὰ περὶ ὧν νῦν λέγομεν,
themselves has-received than these-things themselves about which now we-speak
ἀνδρεία, σωφροσύνη, δικαιοσύνη, φρόνησις;
courage temperance justice prudence

CLIN. καὶ πῶς;
and how

c ATH. τούτων δὴ πέρι τοὺς ἐξηγητάς, τοὺς διδασκάλους, τοὺς
of-these indeed about the interpreters the teachers the
νομοθέτας, τῶν ἄλλων τοὺς φύλακας, τῷ δεομένῳ γνῶναί
lawgivers of-the others the guardians to-the needing to-know
τε καὶ εἰδέναι, ἢ τῷ δεομένῳ κολάζεσθαί τε καὶ ἐπιπλῆξαι
both and to-understand or to-the needing to-be-punished both and to-rebuke
ἁμαρτάνοντι, πότερον οὐ διδάσκοντα ἢν δύναμιν ἔχει κακία
erring whether not teaching what power has vice
τε καὶ ἀρετὴ καὶ πάντως δηλοῦντα, διαφέρειν τῶν ἄλλων,
both and virtue and altogether making-clear to-surpass than-the others
ἀλλ' ἢ ποιητήν τινα ἐλθόντα εἰς τὴν πόλιν ἢ παιδευτὴν
but or poet some having-come into the city or educator
νέων φάσκοντ' εἶναι βελτίω φαίνεσθαι τοῦ πᾶσαν
of-young-men claiming to-be better to-appear than-the all
ἀρετὴν νενικηκότος; εἶτα ἐν τῇ τοιαύτῃ πόλει ὅπου μὴ λόγῳ
virtue having-won then in the such city where not in-word
ἔργῳ τε ἱκανοὶ φύλακες εἶεν, ἀρετῆς πέρι γιγνώσκοντες
in-deed both sufficient guardians would-be of-virtue about knowing
ἱκανῶς, θαυμαστόν τι ταύτην τὴν πόλιν ἀφύλακτον
sufficiently wondrous anything this the city unguarded
οὖσαν πάσχειν ἃ πολλαὶ πάσχουσι τῶν νῦν πόλεων;
being to-suffer what many suffer of-the now cities

CLIN. οὐδέν γε, ὡς εἰκός.
nothing at-least as likely

ATH. τί οὖν; ὃ λέγομεν νῦν ποιητέον ἡμῖν, ἢ πῶς;
what then which we-say now must-be-done by-us or how
τοὺς φύλακας ἀκριβεστέρους τῶν πολλῶν περὶ ἀρετῆς
the guardians more-exact than-the many about virtue
ἔργῳ καὶ λόγῳ κατασκευαστέον; ἢ τίνα τρόπον τῇ τῶν
in-deed and in-word must-be-equipped or what way to-the of-the
ἐμφρόνων κεφαλῇ τε καὶ αἰσθήσεσιν ὁμοιωθήσεται ἡμῖν
sensible head both and senses will-be-likened for-us
ἡ πόλις, ὡς τοιαύτην τινὰ φυλακὴν κεκτημένη ἐν αὑτῇ;
the city as such some guard having in itself
CLIN. πῶς οὖν δὴ καὶ τίνα τρόπον, ὦ ξένε, ἀπεικάζοντες
how then indeed and what way O stranger likening
αὐτὸ τοιούτῳ τινὶ λέγομεν;
it to-such some do-we-speak
ATH. δῆλον ὡς αὐτῆς μὲν τῆς πόλεως οὔσης τοῦ κύτους, e
clear that itself indeed the city being the trunk
τῶν δὲ φυλάκων τοὺς μὲν νέους οἷον ἐν ἄκρᾳ κορυφῇ,
of-the and guardians the(-ones) indeed young as in topmost crown
ἀπειλεγμένους τοὺς εὐφυεστάτους, ὀξύτητας ἐν πάσῃ τῇ ψυχῇ
selected the most-gifted keennesses in all the soul
ἔχοντας, περὶ ὅλην κύκλῳ τὴν πόλιν ὁρᾶν, φρουροῦντας
having about whole in-a-circle the city to-see guarding
δὲ παραδιδόναι μὲν τὰς αἰσθήσεις ταῖς μνήμαις, τοῖς
and to-hand-over indeed the perceptions to-the memories to-the
πρεσβυτέροις δὲ ἐξαγγέλους γίγνεσθαι πάντων τῶν κατὰ
elders and reporters to-become of-all the in
πόλιν, τοὺς δὲ νῷ ἀπηκασμένους τῷ πολλὰ καὶ ἄξια
city the and to-mind likened by-the many and worthy
λόγου διαφερόντως φρονεῖν, τοὺς γέροντας, βουλεύεσθαι,
of-account exceptionally to-think the old-men to-deliberate

καὶ ὑπηρέταις χρωμένους μετὰ συμβουλίας τοῖς νέοις, οὕτω
and as-servants using with counsel the young so
δὴ κοινῇ σῴζειν ἀμφοτέρους ὄντως τὴν πόλιν ὅλην.
indeed in-common to-preserve both really the city whole

IX · THE COUNCIL'S EDUCATION

The council needs a more exact education, to see the one form in many unlike things: what the four virtues share, and how the fine and the good are each one. Above all they must know two doctrines about the gods: that soul is the oldest of all that is born and rules all bodies, and that mind orders the stars. Astronomy breeds atheism only in those who thought the heavens soulless stones. Whoever lacks this knowledge may serve but never rule.

965 ATH. πότερον οὕτω λέγομεν ἤ πως ἄλλως δεῖν
whether so do-we-say or somehow otherwise to-be-necessary
κατασκευάζεσθαι; μῶν ὁμοίους πάντας κεκτημένους
to-be-equipped surely-not alike all having
καὶ μὴ διηκριβωμένους ἔστιν οὓς τραφέντας τε καὶ
and not made-exact there-are whom reared both and
πεπαιδευμένους;
educated
CLIN. ἀλλ', ὦ θαυμάσιε, ἀδύνατον.
but O wonderful-one impossible
b ATH. ἰτέον ἄρα ἐπί τινα ἀκριβεστέραν παιδείαν τῆς
one-must-go then to some more-exact education than-the
ἔμπροσθεν.
earlier
CLIN. ἴσως.
perhaps

ATH. ἆρ᾽ οὖν ἧς δὴ νῦν σχεδὸν ἐφηψάμεθα, τυγχάνοι
so then which indeed now nearly we-touched-upon would-happen
ἂν οὖσα ἧς χρείαν ἔχομεν αὕτη;
— being of-which need we-have this
CLIN. παντάπασι μὲν οὖν.
altogether indeed then
ATH. οὐκοῦν ἐλέγομεν τόν γε πρὸς ἕκαστα ἄκρον δημιουργόν
therefore we-said the at-least toward each highest craftsman
τε καὶ φύλακα μὴ μόνον δεῖν πρὸς τὰ πολλὰ
both and guardian not only to-be-necessary toward the many
βλέπειν δυνατὸν εἶναι, πρὸς δὲ τὸ ἓν ἐπείγεσθαι γνῶναί τε,
to-look able to-be toward but the one to-press-on to-know both
καὶ γνόντα πρὸς ἐκεῖνο συντάξασθαι πάντα συνορῶντα;
and having-known toward that to-arrange all-things seeing-together
CLIN. ὀρθῶς.
rightly
ATH. ἆρ᾽ οὖν ἀκριβεστέρα σκέψις θέα τε ἂν περὶ ὁτουοῦν c
so then more-exact inquiry viewing and — about anything
ὁτῳοῦν γίγνοιτο ἢ τὸ πρὸς μίαν ἰδέαν ἐκ τῶν πολλῶν
for-anyone would-become than the toward one form from the many
καὶ ἀνομοίων δυνατὸν εἶναι βλέπειν;
and unlike able to-be to-look
CLIN. ἴσως.
perhaps
ATH. οὐκ ἴσως, ἀλλ᾽ ὄντως, ὦ δαιμόνιε, ταύτης οὐκ ἔστιν
not perhaps but really O divine-one than-this not is
σαφεστέρα μέθοδος ἀνθρώπων οὐδενί.
clearer method of-men for-anyone
CLIN. σοὶ πιστεύων, ὦ ξένε, συγχωρῶ δή, καὶ ταύτῃ
you trusting O stranger I-concede indeed and in-this-way
πορευώμεθα λέγοντες.
let-us-proceed speaking

d ATH. ἀναγκαστέον ἄρ', ὡς ἔοικεν, καὶ τοὺς τῆς θείας πολιτείας
one-must-compel then as it-seems also the of-the divine constitution
ἡμῖν φύλακας ἀκριβῶς ἰδεῖν πρῶτον τί ποτε διὰ πάντων
for-us guardians exactly to-see first what ever through all
τῶν τεττάρων ταὐτὸν τυγχάνει, ὃ δή φαμεν ἔν τε
the four the-same happens which indeed we-say in both
ἀνδρείᾳ καὶ σωφροσύνῃ καὶ δικαιοσύνῃ καὶ ἐν φρονήσει ἓν
courage and temperance and justice and in prudence one
ὄν, ἀρετὴν ἑνὶ δικαίως ἂν ὀνόματι προσαγορεύεσθαι. τοῦτο,
being virtue by-one justly — by-name to-be-called this
ὦ φίλοι, εἰ μὲν βουλόμεθα, τὰ νῦν οἷόνπερ σφόδρα πιέσαντες
O friends if indeed we-wish the now as-it-were very having-pressed
μὴ ἀνῶμεν, πρὶν ἂν ἱκανῶς εἴπωμεν τί ποτ' ἔστιν εἰς ὃ
not let-us-let-go before — sufficiently we-say what ever it-is to which
βλεπτέον, εἴτε ὡς ἓν εἴτε ὡς ὅλον εἴτε ἀμφότερα εἴτε ὅπως
one-must-look whether as one or as whole or both or however
ποτὲ πέφυκεν· ἢ τούτου διαφυγόντος ἡμᾶς, οἰόμεθά ποτε
ever it-is-by-nature or this having-escaped us do-we-think ever
ἡμῖν ἱκανῶς ἕξειν τὰ πρὸς ἀρετήν, περὶ ἧς οὔτ' εἰ πολλά
for-us sufficiently to-hold the toward virtue about which neither if many
ἐστ' οὔτ' εἰ τέτταρα οὔθ' ὡς ἓν δυνατοὶ φράζειν ἐσόμεθα;
it-is nor if four nor as one able to-tell we-shall-be
οὔκουν ἐάν γε ἡμῖν συμβούλοις πειθώμεθα, ἄλλως δέ
not-then if at-least ourselves as-advisers we-obey otherwise but
πως μηχανησόμεθα ἐν τῇ πόλει ἐγγεγονέναι τοῦθ' ἡμῖν·
somehow we-shall-contrive in the city to-have-come-to-be this for-us
εἰ δ' ἄρα τὸ παράπαν δοκεῖ ἐᾶν, ὁρᾶν δὴ χρεών.
if but then the altogether it-seems to-leave-it to-see indeed needful

CLIN. ἥκιστα, νὴ τὸν ξένιον, ὦ ξένε, θεόν, ἐατέον που
least by the of-strangers O stranger god one-must-leave surely
τὸ τοιοῦτον, ἐπεὶ δοκεῖς ἡμῖν ὀρθότατα λέγειν. ἀλλὰ δὴ
the such since you-seem to-us most-rightly to-speak but indeed
πῶς τις τοῦτ' ἂν μηχανῷτο;
how anyone this — would-contrive
ATH. μήπω τὸ πῶς ἂν μηχανησαίμεθα λέγωμεν· εἰ δεῖ 966
not-yet the how — we-might-contrive let-us-say if one-must
δὲ ἢ μή, πρῶτον βεβαιωσώμεθα τῇ συνομολογίᾳ πρὸς
but or not first let-us-confirm by-the agreement toward
ἡμᾶς αὐτούς.
us ourselves
CLIN. ἀλλὰ μὴν δεῖ γε, εἴπερ δυνατόν.
but indeed one-must at-least if-indeed possible
ATH. τί δὲ δή; περὶ καλοῦ τε καὶ ἀγαθοῦ ταὐτὸν τοῦτο
what and indeed about fine both and good the-same this
διανοούμεθα; ὡς πόλλ' ἔστιν μόνον ἕκαστον τούτων τοὺς
do-we-think that many is only each of-these the
φύλακας ἡμῖν γνωστέον, ἢ καὶ ὅπως ἕν τε καὶ ὅπῃ;
guardians for-us one-must-know or also how one both and in-what-way
CLIN. σχεδὸν ἔοικ' ἐξ ἀνάγκης δεῖν καὶ ὅπως ἓν
nearly it-seems from necessity to-be-necessary also how one
διανοεῖσθαι.
to-think
ATH. τί δ', ἐννοεῖν μέν, τὴν δὲ ἔνδειξιν τῷ λόγῳ b
what and to-conceive indeed the and demonstration by-the word
ἀδυνατεῖν ἐνδείκνυσθαι;
to-be-unable to-demonstrate
CLIN. καὶ πῶς; ἀνδραπόδου γάρ τινα σὺ λέγεις ἕξιν.
and how of-slave for some you speak condition

ATH. τί δέ; περὶ πάντων τῶν σπουδαίων ἆρ' ἡμῖν αὐτὸς
what and about all the serious-things then for-us the-same
λόγος, ὅτι δεῖ τοὺς ὄντως φύλακας ἐσομένους τῶν
argument that one-must the really guardians going-to-be of-the
νόμων ὄντως εἰδέναι τὰ περὶ τὴν ἀλήθειαν αὐτῶν, καὶ λόγῳ
laws really to-know the about the truth of-them and in-word
τε ἱκανοὺς ἑρμηνεύειν εἶναι καὶ τοῖς ἔργοις συνακολουθεῖν,
both sufficient to-interpret to-be and the deeds to-follow
κρίνοντας τά τε καλῶς γιγνόμενα καὶ τὰ μὴ κατὰ φύσιν;
judging the both finely happening and the not according-to nature
CLIN. πῶς γὰρ οὔ;
how for not
c ATH. μῶν οὖν οὐχ ἓν τῶν καλλίστων ἐστὶν τὸ περὶ
surely-not then not one of-the finest is the about
τοὺς θεούς, ὃ δὴ σπουδῇ διεπερανάμεθα, ὡς εἰσίν
the gods which indeed with-earnestness we-went-through that they-are
τε καὶ ὅσης φαίνονται κύριοι δυνάμεως, εἰδέναι τε εἰς
both and how-great they-appear masters of-power to-know both to
ὅσον δυνατόν ἐστιν ταῦτ' ἄνθρωπον γιγνώσκειν, καὶ
as-far-as possible it-is these-things man to-know and
τοῖς μὲν πλείστοις τῶν κατὰ πόλιν συγγιγνώσκειν τῇ
to-the indeed most of-the in city to-pardon to-the
φήμῃ μόνον τῶν νόμων συνακολουθοῦσιν, τοῖς δὲ φυλακῆς
report only of-the laws following to-the and of-guard
μεθέξουσιν μηδὲ ἐπιτρέπειν, ὃς ἂν μὴ διαπονήσηται τὸ
going-to-share not-even to-entrust whoever — not toil-through the
πᾶσαν πίστιν λαβεῖν τῶν οὐσῶν περὶ θεῶν; τὴν δὲ μὴ
every proof to-take of-the existing about gods the and not
ἐπιτροπὴν εἶναι τὸ μηδέποτε τῶν νομοφυλάκων αἱρεῖσθαι
entrusting to-be the never of-the law-guardians to-choose

τὸν μὴ θεῖον καὶ διαπεπονηκότα πρὸς αὐτά, μηδ' αὖ
the not divine and having-toiled toward them nor again
τῶν πρὸς ἀρετὴν ἔγκριτον γίγνεσθαι;
of-the toward virtue select to-become
CLIN. δίκαιον γοῦν, ὡς λέγεις, τὸν περὶ τὰ τοιαῦτα
just at-any-rate as you-say the about the such-things
ἀργὸν ἢ ἀδύνατον ἀποκρίνεσθαι πόρρω τῶν καλῶν.
idle or incapable to-be-set-apart far from-the fine-things
ATH. ἆρα οὖν ἴσμεν ὅτι δύ' ἐστὸν τὼ περὶ θεῶν ἄγοντε
so then do-we-know that two the-two-are the about gods leading
εἰς πίστιν, ὅσα διήλθομεν ἐν τοῖς πρόσθεν;
to belief as-many-as we-went-through in the earlier-things
CLIN. ποῖα;
what-sort
ATH. ἓν μὲν ὃ περὶ τὴν ψυχὴν ἐλέγομεν, ὡς πρεσβύτατόν e
one indeed which about the soul we-said that oldest
τε καὶ θειότατόν ἐστιν πάντων ὧν κίνησις γένεσιν
both and most-divine it-is of-all of-which motion generation
παραλαβοῦσα ἀέναον οὐσίαν ἐπόρισεν· ἓν δὲ τὸ περὶ τὴν
having-taken-up everflowing being provided one and the about the
φοράν, ὡς ἔχει τάξεως, ἄστρων τε καὶ ὅσων ἄλλων
movement how it-is of-order of-stars both and of-as-many-as other
ἐγκρατὴς νοῦς ἐστιν τὸ πᾶν διακεκοσμηκώς.
master mind is the all having-ordered
ὁ γὰρ ἰδὼν ταῦτα μὴ φαύλως μηδ' ἰδιωτικῶς, οὐδεὶς 967
the for having-seen these-things not poorly nor amateurishly no-one
οὕτως ἄθεος ἀνθρώπων ποτὲ πέφυκεν, ὃς οὐ τοὐναντίον
so godless of-men ever has-been-born who not the-opposite
ἔπαθεν ἢ τὸ προσδοκώμενον ὑπὸ τῶν πολλῶν. οἱ
suffered than the expected by the many the(-ones)
μὲν γὰρ διανοοῦνται τοὺς τὰ τοιαῦτα μεταχειρισαμένους
indeed for think the the such-things having-handled

ἀστρονομίᾳ τε καὶ ταῖς μετὰ ταύτης ἀναγκαίαις ἄλλαις
with-astronomy both and the with this necessary other
τέχναις ἀθέους γίγνεσθαι, καθεωρακότας ὡς οἷόν τε
arts godless to-become having-observed as possible —
γιγνόμενα ἀνάγκαις πράγματ' ἀλλ' οὐ διανοίαις βουλήσεως
coming-about by-necessities things but not by-thoughts of-will
ἀγαθῶν πέρι τελουμένων.
of-good-things about being-accomplished

CLIN. τὸ δὲ δὴ πῶς ἔχον ἂν εἴη;
the and indeed how being — would-be

b ATH. πᾶν, ὅπερ εἶπον, τοὐναντίον ἔχει νῦν τε καὶ ὅτε
all which-very I-said the-opposite is now both and when
ἄψυχα αὐτὰ οἱ διανοούμενοι διενοοῦντο. θαύματα μὲν οὖν
soulless them the thinking were-thinking wonders indeed then
καὶ τότε ὑπεδύετο περὶ αὐτά, καὶ ὑπωπτεύετο τὸ νῦν ὄντως
even then crept-in about them and was-suspected the now really
δεδογμένον, ὅσοι τῆς ἀκριβείας αὐτῶν ἥπτοντο, ὅπως
held as-many-as of-the exactness of-them touched how
μήποτ' ἂν ἄψυχα ὄντα οὕτως εἰς ἀκρίβειαν θαυμαστοῖς
never — soulless being so to exactness with-wondrous
λογισμοῖς ἂν ἐχρῆτο, νοῦν μὴ κεκτημένα· καί τινες ἐτόλμων
calculations — would-use mind not having and some dared
τοῦτό γε αὐτὸ παρακινδυνεύειν καὶ τότε, λέγοντες ὡς νοῦς
this at-least itself to-hazard even then saying that mind
εἴη ὁ διακεκοσμηκὼς πάνθ' ὅσα κατ' οὐρανόν. οἱ δὲ
was the having-ordered all-things as-many-as in heaven the and
αὐτοὶ πάλιν ἁμαρτάνοντες ψυχῆς φύσεως ὅτι πρεσβύτερον
same again erring of-soul nature that older
εἴη σωμάτων, διανοηθέντες δὲ ὡς νεώτερον, ἅπανθ' ὡς
was than-bodies having-thought but as younger all-things so
εἰπεῖν ἔπος ἀνέτρεψαν πάλιν, ἑαυτοὺς δὲ πολὺ μᾶλλον· τὸ
to-say a-word they-overturned again themselves and much more the

γὰρ δὴ πρὸ τῶν ὀμμάτων, πάντα αὐτοῖς ἐφάνη, τὰ κατ'
for indeed before the eyes all-things to-them appeared the in
οὐρανὸν φερόμενα, μεστὰ εἶναι λίθων καὶ γῆς καὶ πολλῶν
heaven being-carried full to-be of-stones and of-earth and of-many
ἄλλων ἀψύχων σωμάτων διανεμόντων τὰς αἰτίας παντὸς τοῦ
other soulless bodies distributing the causes of-all the
κόσμου. ταῦτ' ἦν τὰ τότε ἐξειργασμένα πολλὰς ἀθεότητας
cosmos these-things were the then having-wrought many godlessnesses
καὶ δυσχερείας τῶν τοιούτων ἅπτεσθαι, καὶ δὴ καὶ
and difficulties of-the such to-take-up and indeed also
λοιδορήσεις γε ἐπῆλθον ποιηταῖς, τοὺς φιλοσοφοῦντας κυσὶ
revilings at-least came-upon to-poets the philosophizing to-dogs
ματαίαις ἀπεικάζοντας χρωμέναισιν ὑλακαῖς, ἄλλα τε αὖ
vain likening using howlings other-things both again
ἀνόητ' εἰπεῖν· νῦν δέ, ὅπερ εἴρηται, πᾶν τοὐναντίον ἔχει.
foolish to-say now but which-very has-been-said all the-opposite is

CLIN. πῶς;
how

ATH. οὐκ ἔστιν ποτὲ γενέσθαι βεβαίως θεοσεβῆ θνητῶν 968
not it-is-possible ever to-become securely god-fearing of-mortal
ἀνθρώπων οὐδένα, ὃς ἂν μὴ τὰ λεγόμενα ταῦτα νῦν δύο
men anyone who — not the being-said these now two
λάβῃ, ψυχή τε ὡς ἔστιν πρεσβύτατον ἁπάντων ὅσα
grasp soul both that is oldest of-all as-many-as
γονῆς μετείληφεν, ἀθάνατόν τε, ἄρχει τε δὴ σωμάτων
of-generation has-partaken immortal both rules both indeed bodies
πάντων, ἐπὶ δὲ τούτοισι δή, τὸ νῦν εἰρημένον πολλάκις,
all upon and these indeed the now said often
τόν τε εἰρημένον ἐν τοῖς ἄστροις νοῦν τῶν ὄντων τά τε πρὸ
the both said in the stars mind of-the beings the both before
τούτων ἀναγκαῖα μαθήματα λάβῃ, τά τε κατὰ τὴν μοῦσαν
these necessary studies grasp the both regarding the music

τούτοις τῆς κοινωνίας συνθεασάμενος, χρήσηται πρὸς τὰ
with-these of-the community having-viewed-together use toward the
τῶν ἠθῶν ἐπιτηδεύματα καὶ νόμιμα συναρμοττόντως,
of-the characters practices and customs harmoniously
ὅσα τε λόγον ἔχει, τούτων δυνατὸς ᾖ δοῦναι τὸν λόγον·
as-many-as both reason has of-these able be to-give the reason
ὁ δὲ μὴ ταῦθ' οἷός τ' ὢν πρὸς ταῖς δημοσίαις
the(-one) and not these-things able — being in-addition-to the public
ἀρεταῖς κεκτῆσθαι σχεδὸν ἄρχων μὲν οὐκ ἄν ποτε γένοιτο
virtues to-possess nearly ruler indeed not — ever would-become
ἱκανὸς ὅλης πόλεως, ὑπηρέτης δ' ἂν ἄλλοις ἄρχουσιν.
sufficient of-whole city servant but — to-other rulers

X · THE COUNCIL FOUNDED

The council will be added to the laws, but its course of study cannot be written down in advance, since it would be unclear before it is learned. The founders must risk it like a throw of dice, and the Athenian offers to share the risk. If the council is formed, the city should be handed over to it, and the dream of a head and mind joined will come true. Megillus says they must keep the stranger as partner; Clinias agrees and asks Megillus to help, and Megillus promises he will.

b ATH. ὁρᾶν δὴ χρεὼν νῦν, ὦ Κλεινία καὶ Μέγιλλε,
to-see indeed needful now O Clinias and Megillus
ἤδη πρὸς τοῖς εἰρημένοις νόμοις ἅπασιν ὅσους
already in-addition-to the said laws all as-many-as
διεληλύθαμεν εἰ καὶ τοῦτον προσοίσομεν, ὡς φυλακὴν
we-have-gone-through if also this we-shall-add as guard
ἐσόμενον κατὰ νόμον χάριν σωτηρίας τὸν τῶν
going-to-be according-to law for-the-sake of-preservation the of-the

ἀρχόντων νυκτερινὸν σύλλογον, παιδείας ὁπόσης
officials nocturnal council of-education as-much-as
διεληλύθαμεν κοινωνὸν γενόμενον· ἢ πῶς ποιῶμεν;
we-have-gone-through partner having-become or how are-we-to-do
CLIN. ἀλλ', ὦ λῷστε, πῶς οὐ προσοίσομεν, ἄν πῃ καὶ
but O best how not shall-we-add if somehow even
κατὰ βραχὺ δυνηθῶμεν;
by a-little we-be-able
ATH. καὶ μὴν πρός γε τὸ τοιοῦτον ἁμιλληθῶμεν πάντες.
and indeed toward at-least the such let-us-strive all
συλλήπτωρ γὰρ τούτου γε ὑμῖν καὶ ἐγὼ γιγνοίμην
helper for of-this at-least to-you also I would-become
ἂν προθύμως — πρὸς δ' ἐμοὶ καὶ ἑτέρους ἴσως
— eagerly in-addition-to and me also others perhaps
εὑρήσω — διὰ τὴν περὶ τὰ τοιαῦτ' ἐμπειρίαν τε καὶ
I-shall-find because-of the about the such-things experience both and
σκέψιν γεγονυῖάν μοι καὶ μάλα συχνήν.
inquiry having-come-about for-me also very much
CLIN. ἀλλ', ὦ ξένε, παντὸς μὲν μᾶλλον ταύτῃ πορευτέον c
but O stranger of-all indeed rather in-this-way one-must-go
ᾗπερ καὶ ὁ θεὸς ἡμᾶς σχεδὸν ἄγει· τίς δὲ ὁ τρόπος
in-which-very also the god us nearly leads what and the way
ἡμῖν γιγνόμενος ὀρθῶς γίγνοιτ' ἄν, τοῦτο δὴ τὰ νῦν
for-us happening rightly would-happen — this indeed the now
λέγωμέν τε καὶ ἐρευνῶμεν.
let-us-say both and let-us-search
ATH. οὐκέτι νόμους, ὦ Μέγιλλε καὶ Κλεινία, περὶ τῶν
no-longer laws O Megillus and Clinias about the
τοιούτων δυνατόν ἐστιν νομοθετεῖν, πρὶν ἂν κοσμηθῇ —
such possible is to-legislate before — it-be-ordered
τότε δὲ κυρίους ὧν αὐτοὺς δεῖ γίγνεσθαι νομοθετεῖν —
then and in-control of-which them one-must to-become to-legislate

ἀλλὰ ἤδη τὸ τὰ τοιαῦτα κατασκευάζον διδαχὴ μετὰ
but now the the such-things preparing teaching with
συνουσίας πολλῆς γίγνοιτ' ἄν, εἰ γίγνοιτο ὀρθῶς.
association much would-become — if it-should-become rightly
CLIN. πῶς; τί τοῦτο εἰρῆσθαι φῶμεν αὖ;
how what this to-have-been-said are-we-to-say again
d ATH. πρῶτον μὲν δήπου καταλεκτέος ἂν εἴη κατάλογος
first indeed surely to-be-enrolled — would-be list
τῶν ὅσοι ἐπιτήδειοι πρὸς τὴν τῆς φυλακῆς φύσιν
of-those as-many-as suited toward the of-the guard nature
ἂν εἶεν ἡλικίαις τε καὶ μαθημάτων δυνάμεσιν καὶ
— would-be in-ages both and of-studies powers and
τρόπων ἤθεσιν καὶ ἔθεσιν· μετὰ δὲ τοῦτο, ἃ δεῖ
of-ways in-characters and habits after and this what one-must
μανθάνειν οὔτε εὑρεῖν ῥᾴδιον οὔτε ηὑρηκότος ἄλλου
to-learn neither to-find easy nor having-found another's
μαθητὴν γενέσθαι. πρὸς τούτοις δὲ χρόνους, οὓς τε
pupil to-become in-addition-to these and times which both
καὶ ἐν οἷς δεῖ παραλαμβάνειν ἕκαστα, μάταιον ταῦτ'
and in which one-must to-take each vain these-things
ἐν γράμμασιν λέγειν· οὐδὲ γὰρ αὐτοῖς τοῖς μανθάνουσι
in writings to-say not-even for to-them the learning
δῆλα γίγνοιτ' ἂν ὅτι πρὸς καιρὸν μανθάνεται, πρὶν ἐντὸς
clear would-be — what at season is-learned before within
τῆς ψυχῆς ἑκάστῳ που μαθήματος ἐπιστήμην γεγονέναι.
the soul for-each surely of-study knowledge to-have-come
οὕτω δὴ πάντα τὰ περὶ ταῦτα ἀπόρρητα μὲν λεχθέντα
so indeed all the about these-things secret indeed said
οὐκ ἂν ὀρθῶς λέγοιτο, ἀπρόρρητα δὲ διὰ τὸ μηδὲν
not — rightly would-be-said unforetellable but because-of the nothing
προρρηθέντα δηλοῦν τῶν λεγομένων.
having-been-said-beforehand to-make-clear of-the being-said

CLIN. τί οὖν δὴ ποιητέον ἐχόντων τούτων οὕτως, ὦ ξένε;
what then indeed must-be-done being these-things so O stranger
ATH. τὸ λεγόμενον, ὦ φίλοι, ἐν κοινῷ καὶ μέσῳ ἔοικεν ἡμῖν 969
the saying O friends in common and middle seems for-us
κεῖσθαι, καὶ εἴπερ κινδυνεύειν περὶ τῆς πολιτείας ἐθέλομεν
to-lie and if-indeed to-run-the-risk about the constitution we-are-willing
συμπάσης, ἢ τρὶς ἕξ, φασίν, ἢ τρεῖς κύβους βάλλοντες,
whole either thrice six they-say or three dice throwing
ταῦτα ποιητέον, ἐγὼ δ' ὑμῖν συγκινδυνεύσω τῷ φράζειν τε
these-things must-be-done I and to-you will-share-the-risk by-the to-tell both
καὶ ἐξηγεῖσθαι τά γε δεδογμένα ἐμοὶ περὶ τῆς παιδείας τε
and to-expound the at-least having-seemed to-me about the education both
καὶ τροφῆς τῆς νῦν αὖ κεκινημένης τοῖς λόγοις· τὸ μέντοι
and nurture the now again having-been-stirred by-the arguments the however
κινδύνευμα οὐ σμικρὸν οὐδ' ἑτέροις τισὶν προσφερὲς ἂν εἴη.
risk not small nor to-other some like — would-be
σοὶ δὴ τοῦτό γε, ὦ Κλεινία, μέλειν παρακελεύομαι· σὺ
for-you indeed this at-least O Clinias to-be-a-care I-urge you
γὰρ τὴν Μαγνήτων πόλιν, ἢ ᾧ ἂν θεὸς ἐπώνυμον
for the of-the-Magnesians city or after-whom-ever — god named
αὐτὴν ποιήσῃ, κλέος ἀρῇ μέγιστον κατασκευάσας αὐτὴν
it make glory will-win greatest having-constructed it
ὀρθῶς, ἢ τό γε ἀνδρειότατος εἶναι δοκεῖν τῶν ὕστερον
rightly or the at-least most-courageous to-be to-seem of-the afterward
ἐπιγιγνομένων οὐκ ἐκφεύξῃ ποτέ. ἐάν γε μὴν οὗτος ἡμῖν
succeeding not you-will-escape ever if at-least indeed this for-us
ὁ θεῖος γένηται σύλλογος, ὦ φίλοι ἑταῖροι, παραδοτέον
the divine come-about council O friends companions must-be-handed-over
τούτῳ τὴν πόλιν, ἀμφισβήτησίς τε οὐκ ἔστ' οὐδεμία οὐδενὶ
to-this the city dispute both not is none for-anyone
τῶν νῦν παρὰ ταῦθ' ὡς ἔπος εἰπεῖν νομοθετῶν, ὄντως δὲ
of-the now beside these-things so a-word to-say of-lawgivers really and

ἔσται σχεδὸν ὕπαρ ἀποτετελεσμένον οὗ σμικρῷ πρόσθεν
will-be nearly waking-vision fulfilled which a-little before
ὀνείρατος ὡς τῷ λόγῳ ἐφηψάμεθα, κεφαλῆς νοῦ τε
of-dream as in-the argument we-touched-upon of-head of-mind both
κοινωνίας εἰκόνα τινά πως συμμείξαντες, ἐὰν ἄρα ἡμῖν οἵ
of-community image some somehow having-mingled if then for-us the
τε ἄνδρες ἀκριβῶς ἐκλεχθῶσι, παιδευθῶσί τε προσηκόντως,
both men exactly be-selected be-educated both fittingly
παιδευθέντες τε ἐν ἀκροπόλει τῆς χώρας κατοικήσαντες,
educated both in acropolis of-the country having-settled
φύλακες ἀποτελεσθῶσιν οἵους ἡμεῖς οὐκ εἴδομεν ἐν τῷ
guardians be-made such-as we not saw in the
πρόσθεν βίῳ πρὸς ἀρετὴν σωτηρίας γενομένους.
earlier life toward virtue of-preservation having-become

MEG. ὦ φίλε Κλεινία, ἐκ τῶν νῦν ἡμῖν εἰρημένων ἁπάντων
O dear Clinias from the now by-us said all
ἢ τὴν πόλιν ἐατέον τῆς κατοικίσεως ἢ τὸν ξένον
either the city one-must-let-be of-the settlement or the stranger
τόνδε οὐκ ἀφετέον, ἀλλὰ δεήσεσιν καὶ μηχαναῖς πάσαις
this-here not one-must-let-go but with-entreaties and devices all
κοινωνὸν ποιητέον ἐπὶ τὴν τῆς πόλεως κατοίκισιν.
partner one-must-make for the of-the city settlement

d CLIN. ἀληθέστατα λέγεις, ὦ Μέγιλλε, καὶ ἐγὼ ποιήσω
most-truly you-speak O Megillus and I will-do
ταῦθ' οὕτως καὶ σὺ συλλάμβανε.
these-things so and you help

MEG. συλλήψομαι.
I-will-help